1089/2

# ΑΠΑΝΤΗΣΙΣ

ΤΗΣ

ΟΡΘΟΔΟΞΟΥ ΑΝΑΤΟΛΙΚΗΣ

ΕΚΚΛΗΣΙΑΣ,

Εἰς τὴν ἀρτίως πεμφθεῖσαν πρὸς τοὺς

ΑΝΑΤΟΛΙΚΟΥΣ

## ΕΓΚΥΚΛΙΟΝ ΕΠΙΣΤΟΛΗΝ

ΤΟΥ

Μ. ΠΑΠΑ ΤΗΣ ΡΩΜΗΣ

## ΠΙΟΥ ΤΟΥ ΕΝΝΑΤΟΥ.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΕΚ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΤΥΠΟΓΡΑΦΙΑΣ.

1848.

Η ΑΝΑΤΟΛΙΚΗ ΟΡΘΟΔΟΞΟΣ ΕΚΚΛΗΣΙΑ, ΩΣ ΕΚ ΠΡΩΤΗΣ ΣΥΣΤΑΣΕΩΣ ΑΥΤΗΣ, ΟΥΤΩΣ ΑΚΟΛΟΥΘΩΣ ΑΕΙΠΟΤΕ, ΚΑΙ ΕΝ ΑΥΤΩ ΗΔΗ ΤΩ ΑΙΩΝΙ, ΚΑΘΑΠΕΡ ΚΑΤΑΙΓΙΣΙ ΚΑΙ ΚΛΥΔΩΣΙ ΧΕΙΜΑΖΕΤΑΙ ΚΑΙ ΔΙΑΦΟΡΟΙΣ ΠΕΙΡΑΣΜΟΙΣ ΠΟΛΕΜΕΙΤΑΙ ΜΕΝ, ΑΛΛ' ΟΥ ΠΙΠΤΕΙ, ΠΡΟΣΒΑΛΛΕΤΑΙ, ΑΛΛΑ ΣΤΕΡΕΑ ΕΠΙ ΤΗΝ ΑΣΑΛΕΥΤΟΝ ΠΕΤΡΑΝ ΤΗΣ ΠΙΣΤΕΩΣ ΕΣΤΗΚΕΝ, ΩΣ ΥΠΟ ΤΟΥ ΑΟΡΑΤΟΥ ΘΕΟΥ ΟΡΑΤΩΣ ΠΕΡΙΦΡΟΥΡΟΥΜΕΝΗ.

## ΠΡΟΤΑΣΙΣ Α΄.

Ὁ Μακαριώτατος Πάπας Πῖος ὁ Θ΄. ἐν τῇ αὐτοῦ Ἐγκυκλίῳ Ἐπιστολῇ μετὰ τὸ εἰπεῖν ἱκανὰ πρὸς τοὺς μείναντας σταθερῶς ἐν τῇ κοινωνίᾳ καὶ πίστει τῇ πρὸς τὸν θρόνον αὐτοῦ, μεταφέρει (Σελ. Ζ΄.) τὸν λόγον πρὸς ἡμᾶς ἐν γένει τοὺς Ἀνατολικοὺς ὀρθοδόξους, ἐκφραζόμενος μετ' ἀγάπης, εἰρήνης (ὡς λέγει) καὶ φιλοστοργίας πρὸς ἡμᾶς, τοὺς τὸν Χριστὸν μὲν λατρεύοντας, ἀλλοτρίους δὲ τοῦ θρόνου τοῦ Πέτρου, καὶ ὅτι κατὰ τὸ Χριστοῦ παράδειγμα προσπαθεῖ, ἵνα τὰ διασκορπισθέντα πρόβατα ἐπαναγάγῃ εἰς τὴν μάνδραν τῆς τοῦ Κυρίου Ποίμνης· καὶ τέως ἀποτεινόμενος πρὸς τοὺς προέχοντας ταῖς Ἐκκλησιαστικαῖς τιμαῖς (σιωπήσας τὸ Πατριαρχικὸν ὄνομα), ἐπενθυμίζει αὐτοῖς τὴν ἀρχαίαν κατάστασιν τῶν ἡμετέρων Ἐκκλησιῶν, ὅτε αὐται ἦσαν συνδεδεμέναι διὰ τῆς ἑνώσεως ταῖς

SISMANOGLIO MEGARO

λοιπαῖς τῆς Οἰκουμένης Ἐκκλησίαις, καὶ λέγει, ἵνα παρατηρήσωσιν οἵαν ὠφέλειαν ἔφερον αὐτοῖς αἱ μετὰ ταῦτα διαφωνίαι, ὧν ἕνεκα οὐ μόνον μετὰ τῶν ἐν Δύσει Ἐκκλησιῶν, ἀλλ᾽ οὐδ᾽ ἐν μέσῳ αὐτῶν, (τῶν Ἀνατολικῶν Ποιμένων) διετηρήθη ἡ τῆς διδασκαλίας καὶ τῆς ἱερᾶς ἐπιστασίας ἑνότης.

ΑΝΤΙΘΕΣΙΣ.

Ἡ Ἀνατολικὴ Ἐκκλησία μετά τε τῶν Προέδρων αὐτῆς καὶ τοῦ Ὀρθοδόξου πληρώματος εὐχαριστεῖ αὐτῷ ἕνεκα τῆς φροντίδος, δι᾽ ἧς προσπαθεῖ ὅπως τὰ διασκορπισθέντα τῶν προβάτων ἐπαναγάγῃ εἰς τὴν μάνδραν· καὶ περὶ μὲν τῶν μυριάδων ἐκείνων πολλῶν, τῶν ἀποσχισθέντων καὶ ἀποσπασθέντων τῆς μετὰ τῆς Ῥώμης κοινωνίας, χρέος ἱερὸν τῇ Ἀρχιερατείᾳ αὐτῆς ἐπίκειται, ὅπως ἐπανακαλέσῃ αὐτοὺς εἰς τὴν Ποίμνην, ἀφ᾽ ἧς ἀπεσκίρτησαν, περὶ δὲ τῶν Ἀνατολικῶν Ὀρθοδόξων περιττὴ ὅλως ἐστὶν ἡ τοιαύτη προσπάθεια· οἶδε γὰρ καλῶς αὐτὸς τόν τε τῆς ὁμοφροσύνης ἀρχαῖον σύνδεσμον, τὸν ἐφ᾽ ὅλοις αἰῶσιν ὀκτὼ συνενοῦντα τὰς δύω ἀδελφὰς Ἐκκλησίας ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ὁμολογίᾳ Πίστεως, καὶ τὰ αἴτια τὰ οὐκ ἀνθρώπινα, ἀλλὰ σοβαρὰ, ὡς περὶ θείου δόγματος, δι᾽ ἃ ἡ Δυτικὴ Ἐκκλησία ἐμμένουσα τῇ καινοτομίᾳ, τοῦτον τὸν μετὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας συνέχοντα αὐτὴν ἱερὸν σύνδεσμον διέλυσεν, ἡ δ᾽ Ἀνατολικὴ αὕτη, καὶ πρότερον, καὶ μετὰ τὴν μεταβολὴν τῶν πολιτικῶν αὐτῆς πραγμάτων, καὶ ἐπὶ τῆς Ὀθωμανικῆς ἤδη ἐξουσίας, οὕτω τοῦ προνοητοῦ Θεοῦ νεύσαντος, οὐδὲν τῆς ἀνέκαθεν μετέβαλε καταστάσεως. τὸ γὰρ ἑαυτῆς ἀρχαῖον ἀμετάβλητον καθ᾽ ὅλα ἀποσώζει σχῆμα, καὶ ὁ Κλῆρος τὰ τοῦ βαθμοῦ ἀκωλύτως ἐπιτελεῖ, καὶ ἑκασταχοῦ τὰ θεῖα ἱερουργεῖται Μυστήρια, καὶ διὰ βραχέων πάντα, ἡ Ἀνατολικὴ αὕτη Ἐκκλησία, ὅσα ἐξ αὐτῶν τῶν Ἀποστόλων καὶ τῶν Θεηγόρων Πατέρων καὶ Διδασκάλων παρέλαβε δόγματα, ἀπαράτρωτα καὶ ἀμετασάλευτα, μηδὲν ἐν μηδενὶ καινοτομήσασα, διέσωσε, καὶ στερεῶς διασώζει καὶ διασώσει, καὶ διατηρήσει ἄνευ οἱαστινοσοῦν διαφωνίας, καὶ κομμάτων καὶ διαιρέσεως κατά τε τὴν διδασκαλίαν καὶ τὴν τῶν Ποιμένων ἑνότητα, ὡς πικρῶς διαβάλλεται ἄλλως.



ΠΡΟΤΑΣΙΣ Β΄.

Ἡ Μακαριότης αὐτοῦ ἐπάγει ἐν τῇ Ἐγκυκλίῳ, ἵνα μνησθῶσιν οἱ Ἀνατολικοὶ τοῦ Συμβόλου τῆς Πίστεως, καὶ τῆς μιᾶς ἁγίας καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἣν ἀρνοῦνται ὡς ὑφισταμένην αὐτὴν ἐν τῇ κοινωνίᾳ τῆς Ἐκκλησίας τῆς Ῥώμης.

ΑΝΤΙΘΕΣΙΣ.

Οἱ τῆς Ἀνατολικῆς καθόλου καὶ Ὀρθοδόξου Ἐκκλησίας χριστιανοὶ πιστεύουσι καὶ ἀποδέχονται τὸ εὐσεβὲς σύστημα τὸ περὶ τὰ Δόγματα ὀρ-

θὸν καὶ ὑγιαῖνον· Κύριλλος ὁ Ἱεροσολύμων, κατηχήσει ΙΗʹ. ἑρμηνεύων τὰς λέξεις τοῦ ἱεροῦ Συμβόλου, φησίν· "Καθολικὴ καλεῖται, διότι κατὰ πᾶ-
"σαν τὴν Οἰκουμένην ἐξαπλοῦται, καὶ τούτου ἕ-
"νεκα τίθεται τὸ καθολικόν, τουτέστι τὸ ἁπαν-
"ταχοῦ ἄνευ ἐλλείψεως περὶ πάντων τῶν Δογμά-
"των,,· ἡ ἄνευ οὖν ἐλλείψεως κατὰ πάντα τὰ Δόγματα καὶ παρασαλεύσεως τούτων Ἐκκλησία, ἔστι μία, ὡς ἕν τι ὅλον, μία, διότι εἷς ὁ Θεός, ἁγία, διὰ τὴν ἁγίαν αὐτῆς κεφαλήν, ἥτις ἐστὶν ὁ Ἀρχιποίμην Χριστός· ὑπὸ δὲ ταύτῃ τῇ Κεφαλῇ κινούμενοι οἱ Πρόεδροι τῆς ἀπ' ἀρχῆς Ἀποστολικῆς Ἐκκλησίας, μετὰ τῶν ὑπ' αὐτοὺς κανονικῶς τεταγμένων, καὶ τῶν ἄλλων κατὰ τόπους αὐτονόμων Ἐκκλησιῶν, διοικοῦσιν ἐν συνδέσμῳ εἰρήνης καὶ ὁμονοίας, κατά τε τὴν τῆς πίστεως ὀρθότητα, καὶ τῶν Ἀποστολικῶν καὶ Συνοδικῶν Κανόνων τὴν ἀκεραιότητα, τὸ τῶν Ὀρθοδόξων Ἀνατολικῶν πλήρωμα, συνιστῶντες ἓν σῶμα παναρμόνιον, καὶ μίαν τὴν ἁγίαν καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.

### ΠΡΟΤΑΣΙΣ Γʹ.

Ἐν τῇ Ἐγκυκλίῳ ἑπομένως, προτείνονται τὰ πρὸς κύρωσιν τῆς τῶν Προέδρων τῆς Ῥώμης ἐξουσίας συνήθη ἐπιχειρήματα. Αʹ. τὸ, περὶ τῶν δοθεισῶν κλειδῶν τῷ Ἀποστόλῳ Πέτρῳ: Βʹ. περὶ τοῦ μὴ ἐκλεῖψαι τὴν Πίστιν αὐτοῦ: Γʹ. τοῦ στηρίξαι



τοὺς ἀδελφοὺς αὐτοῦ: Δʹ. περὶ τοῦ ποιμαίνειν καὶ βόσκειν τὰ πρόβατα.

### ΑΝΤΙΘΕΣΙΣ.

Τὰ παρὰ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ λεχθέντα τῷ Πέτρῳ "σὺ εἶ Πέτρος κ.τ.λ.,, ἐῤῥέθησαν καὶ πρὸς τοὺς λοιποὺς τῶν Ἀποστόλων· "ὅσα ἂν δή-
"σητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρα-
"νοῖς (Ματθ. Κεφ. ΙΗʹ. 18)· ὡσαύτως καὶ τό,
"ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκ-
"κλησίαν,, ἐῤῥέθη καί, πρὸς πάντας τοὺς Ἀποστόλους, καὶ αὐτοὺς τοὺς Προφήτας· "ἐποικοδομη-
"θὲν ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προ-
"φητῶν,,· (Ἐφ. Κεφ. Βʹ. 20). "τῆς πόλεως Ἰε-
"ρουσαλὴμ τῆς καταβαινούσης ἐκ τοῦ οὐρανοῦ τὸ
"τεῖχος, ἔχον θεμελίους δώδεκα, καὶ ἐν αὐτοῖς ὀ-
"νόματα τῶν δώδεκα Ἀποστόλων τοῦ ἀρνίου,,
(Ἀποκάλ. Κεφ. Γʹ. 14.) συνάγεται δ' ἐκ τῶν ῥηθέντων, ὅτι πρώτη Πέτρα θεμελίου τῶν τε Ἀποστόλων καὶ ὅλης τῆς Ἐκκλησίας ἐστὶ μόνος ὁ Ἰησοῦς Χριστός· ὄντος Ἀκρογωνιαίου αὐτοῦ Ι. Χ,,. (Ἐφ. Κεφ. Βʹ. 20). ἐῤῥέθη μὲν παρὰ τοῦ Κυρίου τῷ Πέτρῳ πρὸς ἀπόκρισιν· "Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύ-
"τῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν,,
ἀλλὰ διότι ἐπὶ τῆς ἐρωτήσεως προέλαβε τῶν ἄλλων Ἀποστόλων μαθητῶν, ὁμολογήσας "Σὺ εἶ ὁ
"Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος,,· (Ματθ. Κεφ. ΙΣΤʹ. 16)· τὴν δὲ ἔννοιαν τῶν λόγων αὐτῶν·

" καὶ ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν,, πρὸς τοῖς ἄλλοις Ἀνατολικοῖς Πατράσι, καὶ ὁ ἱερὸς Αὐγουστῖνος, (Πράξ.124. εἰς τὸν Ἰωάννην) διασαφεῖ οὕτω. " Σὺ εἶ Πέτρος, λέγει ὁ Χριστὸς, καὶ ἐπὶ ταύτῃ τῇ Πέτρᾳ ἣν σὺ ὡμολόγησας, ἐπὶ ταύτῃ τῇ Πέτρᾳ ἣν ἐγνώρισας εἰπών. Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, οἰκοδομήσω μου τὴν Ἐκκλησίαν,, ἐπ' ἐμὲ μὲν δύνασαι σὺ οἰκοδομῆσαι, οὐκ ἐμὲ δὲ ἐπὶ Σέ, τούτέστι τὸ σῶμά μου, τὴν Ἐκκλησίαν μου· οἱ δὲ ἄνθρωποι, οἱ βουλόμενοι ἐπ' ἀνθρώποις θεμελιωθῆναι ἔλεγον· ἐγὼ μὲν εἰμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ(Πέτρου),,(πρὸς Κορινθ. Α΄κεφ.α΄.12)· ἐκ τῆς γνώμης δὲ ταύτης τοῦ θείου δυτικοῦ Πατρὸς, βλέπομεν πρῶτον, ὅτι ἡ Πέτρα, ἐφ' ᾗ ᾠκοδομήθη ἡ Ἐκκλησία, οὐκ ἔστιν ὁ Ἀπόστολος Πέτρος, ἀλλ' ἡ τούτου ὁμολογία τῆς Πίστεως, αὐτὸς ὁ Ι. Χ. ἡ δὲ Πέτρα ἦν ὁ Χριστός·(Α΄.πρὸς Κορινθ.Κεφ.Ι΄.4.) δεύτερον, οἱ λέγοντες, ἐγὼ μὲν εἰμὶ Κηφᾶ (Πέτρου), καὶ αὐτὸν ἐξαιρέτως πρεσβεύω καὶ πιστεύω κεφαλὴν πάντων τῶν ἱερῶν Διδασκάλων καὶ αὐτῆς τῆς Ἐκκλησίας, κατὰ τὸν θεσπέσιον Παῦλον, καὶ τὸν ἱερὸν Αὐγουστῖνον, οἱ τοιοῦτοι μερίζουσι τὸν Χριστὸν, καὶ οἰκοδομοῦσι τοὺς ἀνθρώπους ἐπὶ θεμελίῳ ἀνθρώπων.

Περὶ τοῦ Πέτρου, περὶ οὗ ἐδεήθη ὁ Χριστὸς, ἵνα μὴ ἡ Πίστις αὐτοῦ ἐκλείψῃ " ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ Πίστις σου, καὶ σὺ ποτὲ ἐ-

SISMANOGLIO MEGARO



πιστρέψας, στήριξον τοὺς ἀδελφούς σου,, (Λουκ. Κεφ. Β΄. 32)· περὶ τῆς δεήσεως ταύτης τοῦ Κυρίου πρόκεινται τρανaὶ διασαφήσεις τῶν Πατέρων τῆς Ἐκκλησίας, οἷον Βασιλείου, Χρυσοστόμου, Αὐγουστίνου, Ἀμβροσίου, Ἐπιφανείου, Μακαρίου τοῦ Αἰγυπτίου, Τίτου τοῦ Βόστρων, Θεοφυλάκτου, καὶ Κυρίλλου τοῦ Ἀλεξανδρείας. Ὁ Ἰησοῦς Χριστὸς ἐδεήθη κοινῶς ὑπὲρ τῶν Ἀποστόλων καὶ ὑπὲρ τῶν διὰ τοῦ λόγου αὐτῶν πιστευόντων, ἐν ἐκείνῃ τῇ θαυμασίᾳ προσευχῇ καὶ δεήσει πρὸς τὸν οὐράνιον αὐτοῦ Πατέρα, τῇ ἐν ἐν τῷ ΙΖ΄. Κεφαλαίῳ τοῦ Ἰωάννου· ἐδεήθη δὲ ἰδίως περὶ τοῦ Πέτρου, διότι προεῖδε τὴν διὰ τῆς ἀρνήσεως χαλεπὴν πτῶσιν τούτου, τοῦ μεγαλοφρόνως εἰπόντος· " εἰ καὶ πάντες σκανδαλισθήσονται, ἀλλ' ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι·,, δι' ὃ καὶ τῇ ἑαυτοῦ δυνάμει θαῤῥήσας, καὶ ὑποσχεθεὶς ὃ οὐκ ἔμελλε πληρῶσαι, παρεδόθη τῇ δειλίᾳ καὶ πέπτωκεν εἰς ἄρνησιν· ὁ γὰρ Χριστὸς οὐκ ἐδεήθη ἵνα μὴ σαλευθῇ ἡ τοῦ Πέτρου πίστις, ἡ κατὰ συγχώρησιν θείαν, διὰ τὴν ἀλαζονείαν τῶν λόγων αὐτοῦ, σαλευθεῖσα, ἀλλ' ἵνα μὴ ἐκλείπῃ, καὶ ἀπελπισθεὶς διὰ τὴν ἄρνησιν ἀπωλεσθῇ· διὰ δὲ μετανοίας καὶ δακρύων, ἐξαλείψας τὴν ἁμαρτίαν, καὶ ἐπιστρέψας εἰς τὴν προτέραν πίστιν, γένηται τύπος σωτηριώδους στηριγμοῦ πρὸς τοὺς σαλευομένους ἄλλους ἀδελφοὺς περὶ τὴν πίστιν.

Μετὰ δὲ ταῦτα, τὰ παρὰ τῶν Πατέρων ῥηθέντα, τὰ καὶ δεικνύοντα σαφῶς, ὅτι οὐ διὰ μοναρχί-

αν ἐῤῥέθησαν παρὰ τοῦ Κυρίου τῷ Πέτρῳ τὰ ἀνωτέρω μνησθέντα, ἀλλὰ διὰ τὸ μὴ ἀπογνῶναι αὐτὸν περὶ τοῦ μεγέθους τοῦ οὗ πεποίηκεν ἁμαρτήματος, ἐν τῇ Ἐγκυκλίῳ Ἐπιστολῇ πρὸς ὑπόστασιν τῆς ἧς ἀντιποιοῦνται οἱ τῆς Ῥώμης Ἐπίσκοποι ἐξουσίας, ἐπάγονται αὖθις τὰ συνήθεα συνήθη ἐφεξῆς ἐπιχειρήματα, ἅτινα ἡ Ἀνατολικὴ Ἐκκλησία πρὸ τοσούτων αἰώνων γραφικαῖς ῥήσεσιν ἀνεσκεύασεν.

### ΠΡΟΤΑΣΙΣ Δ'.

Ὁ Ι. Χ. παρέδωκε τελευταῖον εἰς τὸν Πέτρον νὰ βόσκῃ τὰ ἀρνία καὶ πρόβατά του, καὶ ἐπομένως ὅλην τὴν Ἐκκλησίαν, συνισταμένην εἰς τὰ ἀληθῆ ἀρνία καὶ πρόβατα τοῦ Χριστοῦ, καὶ ταῦτα μὲν ἀνήκουν πρὸς τοὺς ἄκρους Ἀρχιερεῖς τῆς Ῥώμης. κ.τ.λ.

### ΑΝΤΙΘΕΣΙΣ.

Πρὸς δὲ λύσιν καὶ ἐπὶ τοῦ παρόντος ταύτης τῆς προτάσεως λέγομεν. Οἱ διὰ τῆς τριτῆς ἐρωτήσεως λόγοι τοῦ Κυρίου πρὸς τὸν Πέτρον, εἰσὶ μᾶλλον ἐντολὴ ἢ ἕτερόν τι, οὐχὶ ἐξουσία, ἀλλὰ χρέος· καὶ τοιοῦτον ἱερὸν χρέος, τὸ ἀποτόμως ἐντελλόμενον πρὸς πάντας τοὺς λειτουργοὺς τοῦ Κυρίου. "Ποιμάνατε τὸ ἐν ὑμῖν Ποίμνιον τοῦ Θεοῦ,, (Πέτρ. Α'. Κεφ. Ε'. 2) ἀλλ' οἱ λέγοντες ἔχειν τὴν πρὸς τὸν Πέτρον ἐντολὴν ταύτην λαμπρόν τι, ἰδέτωσαν τοὺς θείους Πατέρας, Αὐγουστῖνον, Ἀμβρόσιον, Χρυσόστομον, Ἐπιφάνειον, καὶ Κύριλλον Ἀλεξανδρείας πῶς ταύτην ἐννοοῦντες ἀναπτύσσουσι, καὶ διὰ βραχέων, ἰδοὺ οἱ τοῦ ὑστάτου Πατρὸς λόγοι. "Τῷ τριτῷ τῆς τοῦ "Πέτρου ὁμολογίας (ναὶ Κύριε Σὺ οἶδας ὅτι φιλῶ "σε), ἐξηλείφθη τὸ τῆς τριτῆς ἀρνήσεως ἁμάρτημα, "καὶ ἀνεκαινίσθη τὸ τῆς ἀποστολῆς ἀξίωμα ἐν "τῷ Πέτρῳ, ἵνα μὴ διὰ τὴν ἄρνησιν, εἰς ἣν δι' ἀν"θρωπίνην ἀσθένειαν πέπτωκεν ἐξασθενήσασα νο"μισθῇ,, τοιαύτῃ γοῦν παρατηρήσει ἀναγνωστέον τὰ τοῦ Εὐαγγελίου ἱερὰ λόγια κατὰ τὸν νοῦν τῶν ἀρχαίων Πνευματοφόρων Διδασκάλων τῆς Ἐκκλησίας· λέγει ὁ Ἰησοῦς τῷ Σίμωνι Πέτρῳ· "Σίμων "Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; ,, τουτέστι Σὺ ὁ ἐπαινεθεὶς ποτὲ καὶ εἰπών· "εἰ καὶ πάντες "σκανδαλισθήσονται ἐν Σοί, ἐγὼ δὲ οὐδέποτε "σκανδαλισθήσομαι,, (Ματθ. Κεφ. ΚΣΤ'. 33) εἰπέ, ἀγαπᾷς με πλεῖον τῶν λοιπῶν Ἀποστόλων; τῇ δὲ λυπηρᾷ δοκιμῇ ὁ μαθὼν καὶ σωφρονισθεὶς Πέτρος, οὐδὲ τολμᾷ εἰπεῖν τῷ Ἰησοῦ, ὡς ἀγαπῶν πλεῖον τῶν ἄλλων, ἀλλ' ἀπεκρίθη· "Ναὶ Κύριε, Σὺ οἶδας ὅτι φιλῶ σε· ,, ἀποδεχθεὶς δ' ὁ Κύριος τὴν ταπεινὴν αὐτοῦ ταύτην ἀπόκρισιν, ἐρωτᾷ αὐτὸν ἐκ δευτέρου, οὐχὶ περὶ τῆς ἧς ἐκαυχήθη ποτὲ πλείονος ὑπὲρ πάντας τοὺς λοιποὺς ἀγάπης αὐτοῦ, 'ἀλλὰ περὶ ἁπλῆς ἀγάπης· "Σίμων Ἰωνᾶ, ἀγα'πᾷς με; ,, διὸ καὶ ἐν ταπεινότητι δευτεροῦται ἡ αὐτὴ ἀπόκρισις· ἀλλ' ὅταν ὁ Πέτρος ἐρωτήθη καὶ Τρίτον, τότε δὴ ἀναμνησθεὶς τὸ Τρίτον τῆς αὐτοῦ ἀρνήσεως, κατιθλίβη τὴν καρδίαν καιρίως·

"ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ Τρίτον, φιλεῖς με,,; ἕπεται ἄρα ἐκ τῶν ῥηθέντων, ὅτι οὐδέν τι λαμπρὸν ἐμφαίνεται τῷ Πέτρῳ, ἀλλὰ διὰ τὴν ἄρνησιν, μᾶλλον ἀμαύρωσις, πρὸς δὲ τῷ αὐτελέγκτῳ τούτῳ, καὶ τὸ Τριτὸν τῶν λόγων τοῦ Κυρίου πρὸς τὸν Πέτρον, περὶ τοῦ ποιμαίνειν καὶ βόσκειν, οὐδ' ὅλως σημαίνει οὔτε ὅλην τὴν Ἐκκλησίαν, οὔτε ἄλλο ἀνήκουστον, ὃ ὑπολαμβάνουσιν ἀντιποιούμενοι οἱ τῆς Ῥώμης καὶ παραφθέγγοντες κατὰ τὸ δοκοῦν· πρὸς δὲ πλείονα βεβαίωσιν τῆς ἀληθείας, παράγομεν τὴν τῶν Δυτικῶν ἁγίων Πατέρων μαρτυρίαν, καὶ πρῶτον τὴν τοῦ ἱεροῦ Ἀμβροσίου· "Ὁ Ἀπόστολος Πέτρος, φησὶ, μετὰ τὴν ἔκπτωσιν αὐτοῦ ἐν τῷ πάθει τοῦ Κυρίου δι' ἀνθρωπίνην ἀσθένειαν, τρὶς ἐρωτᾶται, διότι τρὶς ἠρνήσατο· τὸ γὰρ πρῶτον φιλεῖς με, τὴν πρὸ τοῦ Σταυροῦ ἀγάπην αὐτοῦ δηλοῖ· τὸ δὲ δεύτερον, τὴν πρὸς τὴν Ποίμνην ἀγάπην· τὸ δὲ τρίτον, τὴν συγχώρησιν τοῦ αὐτοῦ ἁμαρτήματος,, (Βιβλ. Β'. περὶ μυστηρ. Κεφ. Ζ'.) δεύτερον, καὶ τὴν τοῦ ἱεροῦ Αὐγουστίνου ταύτην· " Τρὶς ἠρνήσατο ὁ φόβος, τρὶς ὡμολόγησεν ἡ ἀγάπη· εἰ δὲ καὶ ζητεῖς τί ἄρα δηλοῖ ἡ τοῦ Κυρίου ἐντολὴ, ποίμαινε τὰ πρόβατά μου, μάθε τὸ ποιμαίνειν, ἐστὶ τὸ διδάσκειν καὶ τὸ τρέφειν πνευματικαῖς ταῖς τροφαῖς·,, (Πράξ. Ε'. εἰς τὴν Ἐπιστολ. Ἰωάννου) ταῦτα Πατέρες ἅγιοι μαρτυροῦσι, καὶ φρόνημα ἐστὶ τῆς Καθολικῆς Ἐκκλησίας ἀνέκαθεν στερεὸν καὶ πάσης

SISMANOGLIO MEGARO



βεβιασμένης τροπολογίας ἄλλης τῆς κατὰ σκοπὸν, ὑπέρτερον.

Ἐν τῇ ἐπιστολῇ ἐπάγονται (σελ. 9.) τὰ παρὰ τοῦ θείου Εἰρηναίου κατὰ αἱρέσεων (Βιβλ. Γ'. Κ'.Δ'.) ἀναφερόμενα, ἀλλὰ κατὰ τὸ δοκοῦν παρηλλαγμένα οὕτως.

### ΠΡΟΤΑΣΙΣ Ε'.

Ὁ Εἰρηναῖος θέλων νὰ ἀναφέρῃ κατὰ τῶν αἱρετικῶν τοῦ αἰῶνός του τὴν τῶν Ἀποστόλων διδασκαλίαν, νομίζει μάταιον νὰ ἀριθμήσῃ τὴν διαδοχὴν πασῶν τῶν Ἐκκλησιῶν, αἵτινες ἔλαβον τὴν ἀρχὴν των παρὰ τῶν Ἀποστόλων, βεβαιώνων, ὅτι τοῦ ἀρκεῖ ν' ἀναφέρῃ κατ' ἐκείνων τὴν τῆς ῥωμαϊκῆς Ἐκκλησίας διδασκαλίαν· ὅθεν λέγει " δεῖ συνέρχεσθαι πᾶσαν τὴν Ἐκκλησίαν, δηλονότι τοὺς πανταχόθεν πιστοὺς, ἕνεκα τοῦ Πρωτείου ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ, ἐν ᾗ πάντα ὑπὸ τῶν πανταχόθεν πιστῶν διετηρήθη ἡ παρὰ τῶν Ἀποστόλων δοθεῖσα παράδοσις.,,

### ΑΝΤΙΘΕΣΙΣ.

Τὰ τοῦ Εἰρηναίου κατὰ τῶν αἱρετικῶν Γνωστικῶν οὕτως ἀπαραποιήτως ἔχουσιν· " ἐπειδὴ πασῶν ἐπαριθμῆσαι τὴν διαδοχὴν τῶν Ἐκκλησιῶν λίαν μακρόν ἐστι (οὐχὶ δὲ μάταιον), τῆς μεγίστης καὶ ἀρχικωτάτης καὶ πάσης γνωστῆς, παρὰ τῶν ἐνδοξοτάτων δύω Ἀποστόλων Πέτρου καὶ Παύλου (καὶ οὐ μόνον τοῦ Πέτρου) ἐν Ῥώ-

"μη οἰκοδομηθείσης Ἐκκλησίας, ἣν ἔχει παρὰ
" τῶν Ἀποστόλων παράδοσιν, καὶ ἀγγελθεῖσαν τοῖς
" ἀνθρώποις Πίστιν, μέχρις ἡμῶν ἐλθοῦσαν ἀνακρί-
" νοντες, ἀναστομίζομεν τοὺς παρὰ τὸ προσῆκον
" συλλέγοντας· ταύτῃ γὰρ τῇ Ἐκκλησίᾳ διὰ τὴν
" κραταιοτάτην ἀρχὴν χρὴ πᾶσαν συμφωνεῖν Ἐκ-
" κλησίαν, ἤτοι τοὺς ἁπανταχοῦ πιστούς, ἐν ᾗ
" πάντοτε διετηρήθη ἡ τῶν Ἀποστόλων παράδοσις.„

Πόσον ἀθλίως διέστραπται τὸ τοῦ Πατρὸς κείμενον ἐξαλλοιωθέν! ἀντὶ τοῦ, χρὴ πᾶσαν συμφωνεῖν Ἐκκλησίαν, ἀσυντάκτως οἱ φθορεῖς παρήμειψαν εἰς τὸ, δεῖ συνέρχεσθαι τοὺς πιστοὺς εἰς ταύτην ἕνεκα τοῦ Πρωτείου Ἐκκλησίαν (τῆς Ῥώμης), ὃ Πρωτεῖον μηδαμῶς ὅλως ἐγίνωσκεν· ὡς μὴ ἐπινοηθέντος οὐδὲ ὑπάρχοντος τότε, ὁ μακάριος Εἰρηναῖος, ὅς τις διαλεγόμενος περὶ τῶν Γνωστικῶν ἀπετείνετο εἰς τὰς Δυτικὰς Ἐκκλησίας, τὰς τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης ὑποκειμένας· ἐνιστάμενος δὲ κατὰ τῶν ῥηθέντων αἱρετικῶν, ἐκ τῆς παλαιᾶς παραδόσεως, τουτέστι τῆς παρὰ τῶν Ἀποστόλων ἐν πάσαις ταῖς Ἐκκλησίαις, ἅς τινας ὡς πολλὰς παραλιπών, προὐβάλετο μόνην τὴν ἐν Ῥώμῃ, ὡς ὑπὸ τὴν Ἐπαρχίαν αὐτῆς ὢν καὶ ἐπισκοπεύων, μηδὲ οὔσης τότε ἄλλης Βασιλευούσης, ἡ τῆς πρεσβυτέρας Ῥώμης Ἐκκλησία εἶχε τὰ Πρεσβεῖα ἐπὶ τὰς κατὰ τὴν Δύσιν ὑποταγεῖς πρὸς αὐτὴν Ἐκκλησίας, διὸ καὶ ὁ Εἰρηναῖος αὐτὴν καὶ προέτεινεν· ἐπὶ δὲ τούτοις ὁ Πατὴρ αὐτὸς ἐν τῷ αὐτῷ κατὰ



τῶν Γνωστικῶν κεφαλαίῳ, οὐ μόνον τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ἀλλάγε καὶ τὴν ἐν Ἐφέσῳ καὶ τὴν ἐν Σμύρνῃ ἀναφέρει, καὶ εἰ ἐγίνωσκε μοναρχικὸν ἀξίωμα τοῦ Ῥώμης, ἀνέφερεν ἂν αὐτὴν τὴν Ἐκκλησίαν μόνην κατὰ τῶν Γνωστικῶν, ἄνευ τοῦ μνησθῆναι καὶ ἄλλων Ἐκκλησιῶν, ἃς καὶ ἐγνώριζεν ἴσας τε καὶ ἰσοδυνάμους τῇ τῆς Ῥώμης, καὶ οὐδὲ μετὰ τῶν περὶ αὐτὸν Ἐπισκόπων παρῄνει τὸν Πάπα Βίκτορα ἐπιτιμῶν, ἵνα μὴ ἀφορίζῃ, ὡς ἁμαρτάνων, ἐπὶ τῇ διαφορᾷ τῆς τοῦ Πάσχα ἡμέρας, τοὺς ἐν Ἀσίᾳ, καὶ σχίζει οὕτως εὐκόλως τὴν τῶν Ἐκκλησιῶν ἑνότητα.

Κατὰ τὴν ἐποχὴν ἐκείνην, καθ' ἣν συνενωμέναι ἦσαν διά τε τῆς ἀκεραιότητος τῶν θείων Δογμάτων καὶ τοῦ συνδέσμου τῆς ἐν Χριστῷ ἀγάπης καὶ ἑνώσεως, ἥτε Ἀνατολικὴ καὶ ἡ Δυτικὴ Ἐκκλησία, πολλάκις οἱ Ἱεράρχαι τῆς Ἀνατολικῆς ἐπὶ περιστάσεως καταδρομῆς κατ' αὐτῶν ἀδίκου, ἐπεκαλέσαντο τὴν προστασίαν τῶν εὐσεβούντων Προέδρων τῆς Ῥώμης, ὡς πρεσβυτέρων κατὰ τὴν τιμὴν τῆς στάσεως καὶ Προεδρείας· μετὰ δὲ τὴν διαίρεσιν τῶν δύω Ἐκκλησιῶν, φρονήσαντες οἱ τῆς Ῥώμης Πρόεδροι ὑψηλότερα τοῦ πρέποντος, καὶ ἀφέντες τὸ τῆς στάσεως, ἐνηγκαλίσθησαν Πρωτεῖον ὑπερόχου κυριότητος ἐπὶ πᾶσαν τὴν Ἐκκλησίαν· διὰ δὲ τοῦτο, τὸ τῆς ἐκζητήσεως βοηθείας, ὡς μέγα τι καὶ σοβαρὸν δεῖγμα περὶ τοῦ Πρωτείου τῶν τῆς Ῥώμης Ἀρχιερέων, προβάλλεται

πρός παράδειγμα, ἐν τῇ Ἐπιστολῇ (σελ. 9) μετὰ τὸ τοῦ Εἰρηναίου, καὶ πρῶτον τὸ περὶ τοῦ Μεγάλου Ἀθανασίου οὕτως.

ΠΡΟΤΑΣΙΣ ΣΤ'.

«Ὁ τῆς Ἀλεξανδρείας Ἱεράρχης Ἀθανάσιος, ἀδίκως καταδικασθεὶς καὶ διωχθεὶς τοῦ θρόνου του, ἀφίχθη εἰς Ῥώμην· ὁ δὲ τῆς Ῥώμης Ἐπίσκοπος Ἰούλιος γνωρίσας τὰς ὑποθέσεις ἑκάστου, (διότι καὶ ἄλλοι διωκόμενοι ὑπὸ τῶν Ἀρειανῶν ἀφίκοντο εἰς Ῥώμην), καὶ εὑρὼν αὐτοὺς συμφώνους μὲ τὴν Πίστιν τῆς Νικαίας, καθότι φρονοῦντες τὸ αὐτὸ μ' ἐκεῖνον, ἐδέχθη αὐτοὺς εἰς κοινωνίαν· καὶ ἐπειδὴ διὰ τὴν ἀξίαν τοῦ θρόνου ἡ φροντὶς πάντων ἀνήκει εἰς αὐτὸν ἀπέδωκαν τὰς Ἐκκλησίας των κ.τ.λ.

ΑΝΤΙΘΕΣΙΣ.

Ὁ Μέγας καὶ πολύτλας Ἀθανάσιος συκοφαντηθεὶς καὶ κατακριθεὶς παρὰ τῶν Ἀρειανῶν Ἐπισκόπων, προεξάρχοντος τοῦ μεγάλου ἐχθροῦ αὐτοῦ Καισαρείας Εὐσεβίου, ἀφίκετο εἰς Ῥώμην, πρός τε τὸν Κώνσταντα Αὐτοκράτορα τῆς Δύσεως, καὶ πρὸς τὸν Πάπαν Ἰούλιον, ἅτε δὴ εἰδὼς τὴν Ἐκκλησίαν τῆς Ῥώμης μὴ ἀρειανίζουσαν, ἀλλ' ὀρθοτομοῦσαν τὴν ἐν Νικαίᾳ Πίστιν· ἔγραψε μὲν ὁ Ἰούλιος πρὸς τοὺς Ἀνατολικοὺς καὶ ἀρειανίζοντας ὑπὲρ Ἀθανασίου, ὡς ἀδικουμένου, ἀλλ' οὔτε ἐν ἐξουσίᾳ, οὔτε οὕτως ἔδοξε τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ, δυνάμει τῶν τοῦ Πέτρου κλειδῶν, οὔτε ἐν ἄλλῳ τινὶ τυφώδει προσρήματι, ἀλλὰ σεμνῶς καὶ



Ἐκκλησιαστικῶς, ἀποδεικνύων τὸν ἀντὶ Ἀθανασίου χειροτονηθέντα Ἀλεξανδρείας Γρηγόριον παράνομον, οὐδ' εἶπε, δέον ἦν πρότερον ἐρωτῆσαι τὸν Πάπαν, καὶ οὕτω καθαιρέσει ὑποβαλεῖν τὸν Ἀθανάσιον, καὶ προβαλεῖν τὸν Γρηγόριον, ἀλλὰ τοῦτο μόνον ἔγραψεν, ὅτι πρέπον ἦν τοὺς Ἀνατολικοὺς τοιαῦτα ἐνεργοῦντας, γράψαι καὶ πρὸς τοὺς Δυτικούς, ἵνα ὁρισθῇ παρὰ πάντων τὸ δίκαιον, ὡς οἱ πάσχοντες ἦσαν Ἐπίσκοποι τῶν Ἐκκλησιῶν ἐκείνων, ὧν μόνοι οἱ Ἀπόστολοι καθηγηταὶ γεγόνασι· τὴν δὲ Ἐπιστολὴν πρὸς αὐτοὺς τοὺς Ἀνατολικούς, ἐπάγει ὁ Ἰούλιος, γεγραφέναι προτροπῇ τῆς ἐν Ῥώμῃ Συνόδου· φησὶ γάρ, εἰ καὶ μόνος ἔγραψα, ἀλλ' οὐκ ἐμοῦ μόνου ἐστὶν ἡ γνώμη, ἀλλὰ πάντων τῶν κατὰ τὴν Ἰταλίαν, καὶ τῶν ἐν τούτοις τοῖς μέρεσιν Ἐπισκόπων, καὶ ἐπειδὴ ἐν τῇ πρὸς τοὺς Ἀνατολικοὺς ταύτῃ ἐπιστολῇ πολλάκις προβάλλει κριτὴν οὐχ ἑαυτόν, ἀλλὰ τὴν Σύνοδον, ἄρα οὐδὲν ἀξίωμα μοναρχίας Ἐκκλησιαστικῆς καὶ αὐτογνώμου ἀποφάσεως ἐκ τούτου συνάγεται. (Ἀθαν. ἀπολογ. Β'. Σωκράτης καὶ ἄλλοι)· καὶ συλλήβδην εἰπεῖν, τὸν Ἀθανάσιον οὐχ ὁ Ῥώμης, ἀλλ' αἰτήσει σὺν ἀπειλῇ ἅμα τοῦ Κώνσταντος, μεταπεμψάμενος ὁ Κωνστάντιος ἀπέδωκεν αὐτῷ τὸν θρόνον, καὶ ἐπέτρεψε τὴν εἰς Ἀλεξάνδρειαν αὐτοῦ κάθοδον· (Σωκρ. Βιβλ. Β'.)

Ἑπομένως προβάλλονται ἐν τῇ ἐπιστολῇ καὶ περὶ τοῦ Χρυσορρήμονος ταῦτα.

## ΠΡΟΤΑΣΙΣ Ζ΄.

" Ἰωάννης ὁ Χρυσόστομος τῆς Κωνσταντινουπόλεως Ἀρχιερεύς, καταδικασθεὶς ἐν τῇ ἐν Καρχηδόνι (γράφε Χαλκηδόνι) Συνόδῳ ὑβριστικῶς πως, κατέφυγε δι᾽ ἐπιστολῶν καὶ Πρέσβεων εἰς τοῦτον τὸν Ἀποστολικὸν θρόνον, καὶ ἀνεδείχθη ἀθῶος παρὰ Ἰννοκεντίου Α΄. τοῦ προκατόχου μας,,.

## ΑΝΤΙΘΕΣΙΣ.

Ὁ θεῖος Ἰωάννης ἐκπεσὼν τοῦ θρόνου ὑπὸ τῆς κατὰ τὴν Δρῦν, ἐγγὺς κειμένην τῆς Χαλκηδόνος, συστάσης κατὰ τοῦ Θεσπεσίου ἀνδρὸς παρανόμου Συνόδου, οὐ μόνον πρὸς τὸν Ἰννοκέντιον (μηδαμῶς δὲ καὶ Πρέσβεις ἔπεμψεν) ἔγραψεν, ἀλλὰ καὶ πρὸς πολλοὺς ἄλλους περὶ τῆς κατ᾽ αὐτοῦ ὑπὸ πάθους ἀδίκου καταδρομῆς, οἷον πρὸς τὸν Ἀντιοχείας Φλαϋανόν, πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην, πρὸς Εὐλόγιον κατ᾽ Ἀσίαν Ἐπίσκοπον, πρὸς τὸν κατὰ Παλαιστίνην Σκυθουπόλεως Θεοδόσιον, πρὸς τοὺς κατὰ Μακεδονίαν Ἐπισκόπους, καὶ πρὸς τὸν κατ᾽ Ἀφρικὴν Καρθαγένης Αὐρίλιον· (Σωζόμ. Βιβλ. Η΄. Κεφ. 24. Ἐπιστ. Χρυσ. 37. 91. 95.) ὁ δ᾽ Ἰννοκέντιος, κατὰ ζήτησιν Χρυσοστόμου, τοῦ Οἰκουμενικὴν Σύνοδον ἐπὶ ἐρεύνῃ καὶ κρίσει τῶν κατ᾽ αὐτοῦ συκοφαντιῶν ἐπικαλουμένου, καίτοι πολλὰ ἀγωνισθείς, καὶ βοηθὸν ἔχων τὸν τῆς Δύσεως Αὐτοκράτορα Ὀνώριον, ὑπὲρ ἀθροίσεως Οἰκουμενικῆς Συνόδου, οὐδὲν ἐδυνήθη πρᾶξαι· τοὺς δὲ παρὰ τοῦ

SISMANOGLIO MEGARO



Πάπα ἀποσταλέντας ἐπ᾽ αὐτῷ τούτῳ εἰς Βυζάντιον πρεσβευσαμένους, οἱ παρὰ τῷ Ἀρκαδίῳ καὶ τῇ Εὐδοξίᾳ διαβολὰς κατεσκεύασαν, καὶ τούτους μὲν τοὺς παρὰ τοῦ Πάπα, ὡς ὑπερόριον ἀρχὴν ἐνοχλῆσαι σταλέντας, μὴ ἐντίμως ἀπέπεμψαν, τὸν δὲ θεῖον Ἰωάννην, ψήφῳ Βασιλέως,ποῤῥωτέρω μετοικισθῆναι εἰς Πιτυοῦντα κατώρθωσεν· (Ἐπιστ. Ἰωάνν. Β΄. πρὸς Ἰννοκ. Σωζ. Βιβλ. Η΄. Κεφ. ἐσχάτῳ)· ἐκ δὲ ταύτης τῆς ἐναλήθου, ὡς λόγῳ θεμελιουμένης καὶ μαρτυρίαις κρηπιζομένης ἐκθέσεως, καὶ οὐ τῶν ὧν ἀνθυποφέρουσιν οἱ τῆς Ῥώμης πλασμάτων καὶ παριστοριῶν, δείκνυται, ὅτι ὁ μὲν θεῖος Πατὴρ ἔγραψεν οὐ μόνον τῷ Ῥώμης περὶ τῶν συμβάντων αὐτῷ, ἀλλὰ καὶ πρὸς ἄλλους, τὸ δὲ ἄκρον τῆς ἧς ἐζήτουν ἀμφότεροι ὅτε Ἰωάννης καὶ ὁ Ἰννοκέντιος Οἰκουμενικῆς Συνόδου ἀξίωμα, ἀριδήλως ἐμφαίνεται.

Ὡς δ᾽ ἐν ἐπιθήκης μοίρᾳ, πρὸς πειθὼ τῆς διὰ τοῦ πολυθρυλλήτου Πρωτείου Παντοκρατορίας τῶν Προέδρων τῆς Ῥώμης, ἐν τῇ Ἐγκυκλίῳ Ἐπιστολῇ ταύτῃ, τῇ ἐν μέσῳ τοῦ τηλικούτου πανδήμου συσσεισμοῦ καὶ ἀπονοίᾳ τῶν Ἐθνῶν, ἀδοκήτως ἀναφανείσῃ, ὑποτίθονται καὶ τὰ ἑξῆς.

## ΠΡΟΤΑΣΙΣ Η΄.

Ἕτερον τεκμήριον τοῦ σεβασμοῦ τῶν ὑμετέρων Προγόνων πρὸς τὸ τῶν Ῥωμαίων Ἀρχιερέων Πρωτεῖον ὑπάρχει ἐν τῇ ἐν Καρχηδόνι (γράφε Χαλκηδόνι) Συνόδῳ κατὰ τὸ ἔτος 451. οἱ συναχθέντες ἐκεῖ Ἐ-

πίσκοποι τὸν ἀριθμὸν ἑξακόσιοι, οἵτινες ὀλίγων (ἐξαιρουμένων ἦσαν ἐκ τῶν Ἀνατολῶν, μετὰ τὴν ἀνάγνωσιν τῶν ἐπιστολῶν (γράφε Ἐπιστολῆς) τοῦ ἄκρου Ἀρχιερέως τῆς Ῥώμης Λέοντος ἁγίου τοῦ μεγάλου, εἰς τὴν δευτέραν Πρᾶξιν τῆς Συνόδου ἐφώναξαν· „ ὁ Πέτρος διὰ τοῦ Λέοντος οὕτως ὡ„μίλησε κ.τ.λ.

ΑΝΤΙΘΕΣΙΣ.

Ἡ τοῦ Πάπα Λέοντος Ἐπιστολὴ πρὸς τὴν Τετάρτην Οἰκουμενικὴν Σύνοδον, τὴν ἐν Χαλκηδόνι συγκροτηθεῖσαν, καίτοι ὀρθόδοξος οὖσα ὑπέπεσεν ὅμως ἐξετάσει Συνοδικῇ καὶ δοκιμασίᾳ, εἴγε τῇ ὁμολογίᾳ τῆς Πίστεως τῆς τε Πρώτης, καὶ Δευτέρας, καὶ τῇ τοῦ ἱεροῦ Κυρίλλου τῆς Τρίτης τῶν Οἰκουμενικῶν Συνόδων συνᾴδει, ὡς ἐν ταῖς πράξεσι ταύτης τῆς Δ΄. Συνόδου ἐμφαίνεται· μετὰ δὲ τὴν γενομένην ἀνάκρισιν ταύτης, καὶ ἐρώτησιν, εἰ Ὀρθόδοξος αὕτη καὶ σύμφωνος τῷ ὅρῳ τῶν τριῶν Οἰκουμενικῶν Συνόδων, ἀπεκρίθη ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, ὅτι σύμφωνος τῷ ἱερῷ Συμβόλῳ τῶν τε τριακοσίων δέκα καὶ ὀκτώ, καὶ τῶν ἑκατὸν πεντήκοντα, καὶ τοῖς πραχθεῖσιν ἐπὶ Κυρίλλου παρὰ τῶν ἐν Ἐφέσῳ· καὶ ὅρα, οὐχὶ ἀπὸ τῆς ἐπιστολῆς ταύτης τοῦ Λέοντος τῆς εἰς δοκιμασίαν ὑπαχθείσης, ἡ περὶ τῆς Αἱρέσεως τοῦ Εὐτυχοῦς κρίσις καὶ διάλυσις τῆς ἐγερθείσης ἐν τῇ Ἐκκλησίᾳ ταραχῆς ἐγένετο, ἀλλ᾽ ἀπὸ τῆς τε ἐν Νικαίᾳ, τῆς ἐν Κωνσταντινουπόλει καὶ τῆς ἐν Ἐφέσῳ τῶν Συνόδων, ἐκ δὲ τούτου πρόδηλον, τίς ἄρα μείζων, ὁ ἐξεταζόμενος καὶ ἀνακρινόμενος, ἢ ὁ ἐξετάζων καὶ κρίνων; ὁ γὰρ Λέων καίτοι ὀρθοδοξῶν, καὶ ἅγιος ὤν, οὐδὲν ἐν τῇ πρὸς τὴν Σύνοδον Ἐπιστολῇ αὐτοῦ εἶπεν ἐξ αὐτοῦ, ἀλλ᾽ ἅπερ εἶπον οἱ πρὸ αὐτοῦ τῶν Συνόδων Πατέρες, ταῦτα ὁμολογῶν ἐξέθετο· ὅθεν οὐδὲ μοναρχικὸν ἀξίωμα ἢ Πρωτεῖον ἐκ τούτου συνάγεται, ὡς οἱ τῆς Ῥώμης τὴν τοῦ Λέοντος ἐπιστολὴν ταύτην πρὸς τὴν Δ΄. Σύνοδον σταλεῖσαν, πρὸς δεῖξιν δῆθεν κυριότητος, οἴονται· καὶ ἐὰν ἡ Λέοντος αὕτη Ἐπιστολὴ ἐκλήθη στήλη τις Ὀρθοδοξίας, ἀλλὰ καὶ τὰ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς Γράμματα πρὸς τὸν Πατριάρχην Ταράσιον, παρὰ τῶν Πατέρων τῆς Ἑβδόμης Οἰκουμενικῆς Συνόδου, Στύλος εὐσεβείας ἐκλήθησαν, καὶ ἐναλλὰξ ἡ τοῦ Ταρασίου πρὸς τοὺς Ἀνατολικοὺς αὐτοὺς Ἐπιστολή, ὅρος Ὀρθοδοξίας παρὰ τῶν Πατέρων τῆς Ζ΄. Συνόδου ἐπωνομάσθη· στήλη οὖν Ὀρθοδοξίας, στύλος Εὐσεβείας, καὶ ὅρος Ὀρθοδοξίας τὰ αὐτά ἐστι.

Ζητηθείσης παρὰ τῶν Πατέρων τῆς Δ΄. Συνόδου πρῶτον, τῆς τοῦ ἱεροῦ Κυρίλλου Ἀλεξανδρείας Ἐπιστολῆς, καὶ ἀναγνωσθείσης, ἐβόησεν ἡ Σύνοδος· Κύριλλος οὕτω πιστεύει, καὶ ἡμεῖς οὕτω πιστεύομεν, αἰωνία ἡ μνήμη Κυρίλλου· ἀναγνωσθείσης δ᾽ εἶτα καὶ τῆς τοῦ Λέοντος, ἐβόησαν ἐπίσης· αὕτη ἡ Πίστις τῶν Πατέρων, αὕτη ἡ Πίστις

τῶν Ἀποττόλων, Πέτρος διὰ Λέοντος ταῦτα ἐφώνησε, καὶ εἶτα προσέθηκαν, οἱ Ἀπόστολοι οὕτως ἐδίδαξαν· δῆλον οὖν, ἀπὸ τῆς πρὸς τὸν Κύριλλον συμφωνίας, οἱ Πατέρες πιστὸν τὸν Λέοντα ἀποφαίνονται· ἐπεὶ δ' οὐκ ἔδωκε τῷ Κυρίλλῳ ἡ τούτου ἐπιστολὴ Πρωτεῖον, οὐδ' ἄρα τῷ Λέοντι.

ΠΡΟΤΑΣΙΣ Θ'.

" Οἱ Ῥωμαϊκοὶ Ἀρχιερεῖς (σελ. 10.) ἔλαβον τὸ πρῶτον μέρος εἰς τὰς Συνόδους, κυρίως δὲ εἰς τὰς Οἰκουμενικάς, καὶ ὅτι ἡ ἐξουσία των ἐπεκαλέσθη καὶ πρὶν τῆς συνκροτήσεως τῶν Συνόδων καὶ ὕστερον, ἐκτὸς τῶν Συνόδων ἠδυνάμεθα ν' ἀναφέρωμεν πολλὰς ἄλλας πράξεις καὶ Συγγράμματα τῶν Πατέρων καὶ ἀρχαίων Ἀποστολικῶν, δι ὧν δεικνύεται, ὅτι τὸ τῶν Ῥωμαϊκῶν Ἀρχιερέων Πρωτεῖον ἴσχυεν εἰς τὰς Ἀνατολὰς παρὰ τοῖς ὑμετέροις Πατράσι κ.τ.λ. „

ΑΝΤΙΘΕΣΙΣ.

Ἐν πρώτοις, οὐδεμία τῶν Οἰκουμενικῶν ἑπτὰ Συνόδων συνεκροτήθη ἐκ Ποντιφικῆς τοῦ Ῥώμης δοκούσης ἐξουσίας, ἐπικαλεσθείσης οἷον καὶ πρὸ τῆς τῶν Συνόδων συναθροίσεως, ἢ καὶ μετὰ ταῦτα, ἀλλὰ θετικῶς καὶ κυρίως, ὡς κατάδηλον ἀπό τε τῶν Συνοδικῶν Πράξεων καὶ τῶν ἱστοριῶν, παρὰ τῆς ὑπερτάτης ἐξουσίας καὶ αὐθεντίας τῶν Ὀρθοδόξων Ἀνατολικῶν Αὐτοκρατόρων, τῶν διὰ θεσπίσματος αὐτῶν τοὺς ἁπανταχοῦ Ἀνατολῆς καὶ



Δύσεως αὐτῆς τῆς ἱερωσύνης ἀρχηγοὺς συγκαλεσάντων παρρησιασθῆναι ἢ αὐτοπροσώπως, ἢ διὰ τοποτηρητῶν· ὅτι δὲ οὔτε τῆς τῶν Παπῶν πρὸς συγκρότησιν τῶν Οἰκουμενικῶν ἑπτὰ Συνόδων ἐδέησε ποτὲ ἡ ἐπίνευσις, οὔτε ἐν ἐξουσίᾳ ἀλλ' ἐν ταπεινότητι οἱ τοῦ Πάπα Τοποτηρηταὶ παρρησιάζοντο, ἀπόχρη πρὸς δήλωσιν τὰ ἐφεξῆς. Οἱ ἀπὸ τοῦ Πάπα Ἀγάθωνος ἀποσταλέντες λεγάτοι εἰς τὴν ἕκτην Οἰκουμενικήν, εἶπον πρὸς τὸν Αὐτοκράτορα Κωνσταντῖνον τὸν Πωγωνάτον. " Δέσποτα " κατὰ τὴν δοθεῖσαν Σάκραν ἐκ τοῦ Θεοφόρου ὑ-" μῶν Κράτους πρὸς τὸν ἁγιώτατον ἡμῶν Πάπαν " ἀπεστάλημεν παρ' αὐτοῦ πρὸς τὰ πανευσεβῆ ἴχ-" νη τῆς Θεοστηρίκτου ὑμῶν Γαλήνης μετὰ καὶ " ἀναφορᾶς αὐτοῦ „ · ἐν δὲ ταύτῃ διετρανοῦντο ταῦτα· " κατὰ τὴν εὐσεβεστάτην κέλευσιν (Σά-" κρα) τῆς Θεοσκεπάστου ἡμῶν ἡμερότητος, ἕ-" νεκα ὑπακοῆς ἧς ὀφείλομεν, οὐχ ἕνεκα παῤῥη-" σίας, πέμπομεν τοὺς παρόντας συνδούλους ἡ-" μῶν, καὶ ὑπὲρ ὧν γονυπετοῦντες τῇ διανοίᾳ ἱκε-" τικῶς τὴν ἡμετέραν φιλανθρωπίαν δυσωποῦμεν, " ἵνα ἀποδοχῆς αὐτοὺς ἀξιώσῃ „ · (Πραξ. πρώτη τῆς Σ.) ἐπὶ δὲ τῆς Ἑβδόμου Οἰκουμενικῆς Συνόδου, ὁ Πάπας Ἀδριανὸς ἀποστέλλων τοὺς Τοποτηρητὰς αὐτοῦ, ἔγραψε πρὸς τοὺς Αὐτοκράτορας Κωνσταντῖνον καὶ Εἰρήνην ταῦτα· " εὐσεβέστατοι " καὶ Γαληνότατοι Δεσπόται δυσωπῶ μετὰ μεγά-" λου πόθου καὶ καρδίας τὴν ὑμετέραν πραότη-

" τα, καὶ ὡς παρὼν γονυπετῶν καὶ τοῖς ὑμετέραις
" ἴχνεσι κυλινδούμενος ἱκετεύω. καὶ ἐνώπιον Θεοῦ
" παρακαλῶ καὶ ὁρκίζω, τὰς ἱερὰς εἰκόνας ἐν αὐ-
" τῇ τῇ Βασιλίδι πόλει, καὶ τοῖς ἀμφοτέροις μέ-
" ρεσι τῆς Γραικίας εἰς τὴν ἀρχαίαν βάσιν συ-
" στῆσαι καὶ στηρίξαι κελεύσατε· ,, (Πράξ. Β'. τῆς Ζ.).

Τὸ δὲ πολυθρύλλητον καὶ περιμάχητον Πρωτεῖον, ὅ περὶ πολλοῦ περιποιεῖται ὑψοῖ, ἐπαίρει, καὶ ἐπισείει, καθάπερ τὰ νέφη τοὺς κεραυνούς, ὁ Ῥώμης, ἐροῦμεν τὸ ἀληθές, οὔτε ἐν τοῖς συγγράμμασι τῶν Ἀνατολικῶν Πατέρων δεικνύεται, οὔτε καὶ ὡς ἰσχῦον, καθὰ φρονοῦσιν αὐτὸ οἱ τῆς Ῥώμης Ἀρχιερεῖς, ἐγνώρισεν ἡ Ἀνατολικὴ Ἐκκλησία πώποτε, ἥτις μετὰ τῶν τῆς Ἱερωσύνης ἀρχηγῶν αὐτῆς τεσσάρων ὀρθοδόξων Πατριαρχῶν, οὐδὲν ἄλλο πρὸ τοῦ σχίσματος, κατὰ τοὺς τῶν Οἰκουμενικῶν ἑπτὰ Συνόδων ἀποφαντικοὺς Κανόνας, ἀπέδωκε τοῖς τῆς Ῥώμης Προέδροις, εἰμὴ Πρεσβεῖα στάσεως, οὐχὶ δὲ καὶ Πρωτεῖα ἐπὶ τὴν Ἐκκλησίαν ὅλην. " Τῆς μὲν
" πρώτης Οἰκουμενικῆς Συνόδου ὁ ς'. Κανὼν βοᾷ
" ταῦτα "τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ
" καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλε-
" ξανδρείᾳ Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν
" ἐξουσίαν, ἐπειδὴ καὶ τῷ Ῥώμης Ἐπισκόπῳ τοῦ-
" το σύνηθές ἐστιν, ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀν-
" τιόχειαν, καὶ ἐν ταῖς ἄλλαις Ἐπαρχίαις τὰ
" πρεσβεῖα σώζεσθαι ταῖς Ἐκκλησίαις,, .

SISMANOGLIO MEGARO



Ἀπὸ δὲ τοῦ ῥηθέντος ἱεροῦ ψηφίσματος προδήλως ὁρᾶται τό, οἵαν ἐξουσίαν εἶχεν ὁ Ῥώμης, τὴν αὐτὴν καὶ ἴσην εἶχον καὶ ὁ Ἀλεξανδρείας καὶ ὁ Ἀντιοχείας καὶ οἱ ἄλλοι τῶν Ἐπισκόπων. Ἐκ δὲ τούτου συνάγεται ἄρα σαφῶς, πόσον μακρὰν ἀπεῖχεν ἡ τῶν Οἰκουμενικῶν πρώτη τοῦ γνωρίσαι ἐν τῷ Ῥώμης Πρωτεῖον παντοκρατορικῆς ἐξουσίας ἐπὶ τὴν καθόλου Ἐκκλησίαν ἔχοντι, ἢ κεφαλὴν αὐτὸν τῆς Ἐκκλησίας.

Τῆς δὲ δευτέρας Οἰκουμενικῆς Συνόδου ὁ τρίτος Κανὼν θεσπίζει ταῦτα. " Τὸν μέντοι Κωνσταντι-
" νουπόλεως Ἐπίσκοπον ἔχειν τὰ Πρεσβεῖα τῆς τι-
" μῆς μετὰ τὸν τῆς Ῥώμης Ἐπίσκοπον, διὰ τὸ
" εἶναι αὐτὴν Νέαν Ῥώμην,, .

Ἐὰν δ' ὑποτεθῇ ἐξαίρεσίς τις ἐν τῷ Ἐπισκόπῳ τῆς Ῥώμης, ἐστὶν αὕτη ἁπλῶς ἡ κατὰ τὰ Πρεσβεῖα τῆς στάσεως τιμή, καὶ οὐδ' ὅλως Πρεσβεῖα γενικῆς ἐξουσίας· παρατηρητέον δ' ἐπισταμένως τὴν δύναμιν τοῦ Κανόνος, τίνος ἕνεκα ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης; διὰ τὸ εἶναι αὐτὴν Νέαν Ῥώμην· καὶ τίνι λόγῳ ὁ Ῥώμης πρὸ τούτου; διὰ τὸ εἶναι ἀρχαίαν Ῥώμην. Ἰδοὺ ἐκπεφασμένως οἵαν ἐξαίρεσιν Πρεσβείου δίδωσιν ἡ δευτέρα τῶν Οἰκουμενικῶν Συνόδων τῷ Ῥώμης, καὶ μηδαμῶς ἐξῃρημένην ἄλλην ἐξουσίαν.

Ἡ δὲ τρίτη τῶν Οἰκουμενικῶν Συνόδων ἐπικυροῦσα τὰ ἐξ ἀρχῆς τῆς ἀνεξαρτησίας δίκαια πρός τε τοὺς Ἐπισκόπους τῆς Κύπρου, καὶ ἄλλους, ὡς ἐ-

πηρεαζόμενα ὑπὸ τῶν κατὰ μέρος Ἐπισκόπων, καὶ περιορίζουσα τὴν ἐξουσίαν ἑκάστου Ἐπισκόπου ἐν μόναις ταῖς ἰδίαις Ἐπισκοπαῖς καὶ οὐ περαιτέρω, διεθέσπισεν ἐπὶ προφυλακῇ τοῦ λοιποῦ ταῦτα· (Καν. Η΄.) " ἵνα μὴ οἱ Κανόνες τῶν Πατέρων " παραβαίνωνται, μηδὲ ἐν Ἱερουργίαις προσχήμα-" τι ἐξουσίας τύφος κοσμικῆς παρεισδύηται, μη-" δὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέ-" σαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ " Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πάντων ἀνθρώ-" πων ἐλευθερωτής.

Τῷ τοιούτῳ οὖν τρόπῳ καὶ ἡ ἱερὰ αὕτη Σύνοδος ἀπέῤῥιψεν ἀποδοκιμάσασα καὶ μὴ δεχθεῖσα τοιαύτην αὐτοδέσποτον ἀπόλυτον ἐξουσίαν τῶν Ἐπισκόπων (οἵαν ἀποδέχεται τὴν σήμερον ἐν τῷ Πάπᾳ ἡ Ἐκκλησία τῆς Ῥώμης), καὶ ἔλαβεν ἡ Σύνοδος σοβαρὰν προσοχὴν, ἵνα μὴ τοιοῦτος ἐξουσίας τύφος ἀναφανῇ τοῦ λοιποῦ ἐν μέσῳ τῶν Ποιμένων τῆς Ἐκκλησίας.

Ὁ δὲ εἰκοστὸς ὄγδοος Κανὼν τῆς τετάρτης Οἰκουμενικῆς Συνόδου, βοᾷ καὐτὸς ταῦτα. " Πανταχοῦ τοῖς τῶν ἁγίων Πατέρων ὅροις ἑπόμενοι, " καὶ τὸν ἀρτίως ἀναγνωσθέντα Κανόνα τῶν ἑ-" κατὸν πεντήκοντα Θεοφιλεστάτων Ἐπισκόπων " (τὸν Γ΄. τῆς Β΄. Συνόδου) τῶν συναχθέντων ἐπὶ " τοῦ εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου, γνω-" ρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψη-" φιζόμεθα περὶ τῶν Πρεσβείων τῆς ἁγιωτάτης



" Ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως Νέ-" ας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς Πρεσβυτέρας " Ῥώμης διὰ τὸ βασιλεύειν τὴν Πόλιν ἐκείνην, οἱ " Πατέρες εἰκότως ἀποδεδώκασι τὰ Πρεσβεῖα· " καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντή-" κοντα Ἐπίσκοποι, τὰ ἴσα Πρεσβεῖα ἀπένειμαν " τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως " κρίναντες, τὴν Βασιλείᾳ καὶ Συγκλήτῳ τιμηθεῖ-" σαν Πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν Πρεσ-" βείων τῇ Πρεσβυτέρᾳ Βασιλίδι Ῥώμῃ, καὶ ἐν " τοῖς Ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι " πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν,,.

Κατὰ δὲ τὸ θέσπισμα καὶ ταύτης τῆς Συνόδου, σκοπεῖν δεῖ πρῶτον, ὅτι ἡ ἱερὰ Σύνοδος ἀποδέχεται μὲν τὰ Πρεσβεῖα τοῦ Ῥώμης, διὰ μόνην τὴν Ῥώμην, οὐχὶ δὲ καὶ ἄλλην ἐν αὐτῷ ὑπερβάθμιον ἐξουσίαν, οἵαν τὴν σήμερον αὐτὸς γαύρως περιβάλλεται· δεύτερον, τῷ τῆς Νέας Ῥώμης Θρόνῳ καθώσπερ ἡ δευτέρα, οὕτω καὶ ἡ τρίτη τῶν Οἰκουμενικῶν Συνόδων, ἀπέδωκε τῷ θρόνῳ τῆς Πρεσβυτέρας Ῥώμης τὰ αὐτὰ Πρεσβεῖα· ὅθεν ἐὰν ὁ Ῥώμης ἔλαβε Πρεσβεῖα στάσεως καὶ τιμῆς πρὸ τοῦ Κωνσταντινουπόλεως, ἐπὶ τούτῳ μόνῳ ἔλαβε ταῦτα, διότι ἄλλως ἦν ἀδύνατον τοῦ εἶναι ἅμα δύω πρώτους, καὶ οὐχὶ ἐπὶ τούτῳ, ἵν' ἔχῃ ὑπεροχήν τινα ἰδιαιτέρας ἀποκλειστικῆς ἐξουσίας καὶ ἰσχύος ἐπὶ τὴν καθόλου Ἐκκλησίαν. Ὁ Κωνσταντινουπόλεως ἦν ἐπίσης ἐν τῇ Νέᾳ, ὅτι καὶ ὁ Ῥώμης ἐν τῇ

ἀρχαία. ἡ δὲ τῆς Νέας Ῥώμης παρὰ τοσοῦτον ἐξήρτητο τῆς Ἐκκλησίας τῆς Πρεσβυτέρας Ῥώμης, παρ' ὅσον καὶ αὐτὴ τῆς ἄλλης· τὸ αὐτὸ δ' ἐννοεῖται καὶ περὶ τῶν λοιπῶν τριῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας Πατριαρχῶν, οἵτινες ἔν τε Συνόδοις καὶ συνελεύσεσι τῷ τε Ῥώμης καὶ τῷ Κωνσταντινουπόλεως ἀπέδωκαν πάντοτε Πρωτεῖα στάσεως μόνης καὶ Προεδρείας, καὶ οὐδὲν ἥκιστα ἕτερον.

Τέως καὶ ἡ ἕκτη Οἰκουμενικὴ διὰ τοῦ τριακοστοῦ ἕκτου Κανόνος αὐτῆς, ἀνανεοῦσα τὰ ἐπὶ τῶν προλαβουσῶν Συνόδων περὶ τῶν Πατριαρχικῶν θρόνων ἀποφανθέντα καὶ νομοθετηθέντα, ἐπάγει καὶ αὐτὴ ταῦτα.

" Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα Πατέρων ἁγίων, τῶν ἐν τῇ Θεοφυλάκτῳ ταύτῃ καὶ Βασιλικῇ Πόλει συνελθόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα τῶν ἐν Χαλκηδόνι συναθροισθέντων νομοθετηθέντα, ὁρίζομεν ὥστε τὸν Κωνσταντινουπόλεως Θρόνον, τῶν ἴσων ἀπολαύειν Πρεσβείων τοῦ τῆς Πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς Ἐκκλησιαστικοῖς, ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν Πόλεως,,. Κατὰ δὲ τὰ θεσπισθέντα συνοδικῇ ἀποφάσει, καὶ ταῦτα ὁ μὲν Κωνσταντινουπόλεως κατ' ἔθος τῶν Ἀνατολικῶν ὀνομάζεται Πατριάρχης, ὁ δὲ Ῥώμης

SISMANOGLIO MEGARO



κατ' ἔθος τῶν Δυτικῶν Πάπας, ὡς καὶ ὁ Ἀλεξανδρείας κατ' ἔθος ἀρχαῖον, Πάπας ἐπίσης. Ἐκ δὲ τούτων πασῶν τῶν ῥηθεισῶν ἀποφαντικῶν ἀποδείξεων τῶν Οἰκουμενικῶν Συνόδων, ἐν αἷς καὶ οἱ μακάριοι ἐκεῖνοι τότε Πάπαι συνήδρευον, συνεψήφουν καὶ συνεπικύρουν, κρινάτω πᾶς ἀπαθὴς πόσον ἀπέχει ἀληθείας τὸ ὑποτιθέμενον τουτὶ Πρωτεῖον, ὡς ἴσχυον ποτὲ εἰς Ἀνατολὰς παρὰ τοῖς ἡμετέροις Πατράσι, τουτέστιν ἐν ταῖς Οἰκουμενικαῖς ταύταις Συνόδοις· ἀλλ' οὕτω κοινὴ σχεδὸν καὶ φίλον καὶ σύνηθες τῇ Ῥώμῃ ἤδη, πάντα κατὰ τὸ δοκοῦν παρανοεῖν, παρερμηνεύειν καὶ διαστρέφειν.

Οὐδένα οὖν τοιοῦτον Πρωτεῖον ἢ Κεφαλῆς Ἐκκλησίας, ἢ Παντοκρατορικῆς ἀρχῆς, ἢ Κέντρου ἑνότητος οἶδεν ἢ ἐγνώρισε πώποτε ἐν Ἐπισκόπῳ ἡ Ἐκκλησία τοῦ Χριστοῦ, ὡς καλῶς εἰδεῖα, ὅτι οἱ τῆς πρώτης Ἐκκλησίας ἐπίσκοποι διὰ μνήμης εἶχον πάντοτε τὸν λόγον τοῦ Κυρίου " ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν διάκονος,, (Ματ. Κ.Κ. 26). καὶ ἐπειδὴ τούτων ἕκαστος κατὰ τὴν θείαν ἐντολὴν ταύτην, ἡγεῖτο ἑαυτὸν δοῦλον ἐλάχιστον, ἕως οὗ ὑπῆρχον ἐν τοῖς ζῶσιν Ἀπόστολοι, καὶ τούτων ὁμιληταὶ ἀποστολικοὶ ἄνδρες, οὐδεὶς τῶν Ἐπισκόπων ἐφαντάσθη πώποτε Πρωτεῖον καὶ ὑπεροχὴν ἐπ' ἄλλους, ἀλλ' αἱ τῶν ἐπισημοτέρων τότε Πόλεων Ἐκκλησίαι, αἱ ἔχουσαι ἀριθμὸν εὐσεβῶν πλείονα, καὶ μᾶλλον ἐκεῖναι, ὧν ἦν γνωστὴ ἡ ἄμεσος διαδοχὴ παρὰ τῶν Ἀποστόλων, προσε-

λαβον Πρεσβεῖον, πρὸ τῶν ὁμόρων ἄλλων ἧττον ἐπισήμων κατὰ τὸ πλῆθος τῶν χριστιανικῶν Ἐκκλησιῶν, γινόμεναι οἷον καταφύγιον αἱ δεύτεραι πρὸς τὰς πρώτας· τοιαῦται γοῦν ἦσαν ἥτε τῆς Ἀντιοχείας, ἧς οἱ Ἐπίσκοποι συνεστήθησαν παρὰ τῶν Ἀποστόλων Πέτρου καὶ Παύλου, ἡ τῆς Ἀλεξανδρείας παρὰ τοῦ Εὐαγγελιστοῦ Μάρκου, καὶ ἡ τῆς Ῥώμης παρὰ Πέτρου ὁμοῦ καὶ Παύλου, ἡ δὲ τάξις εἶτα, ἐπὶ τῶν Οἰκουμενικῶν Συνόδων οὕτως ἀπήτησεν, ὥστε ἐκ τῶν τριῶν ῥηθέντων Ἐπισκόπων τῶν ἐπισημοτέρων Ἐκκλησιῶν προτιμηθῆναι ἕνα, καὶ τούτῳ δοθῆναι τὸ τῆς στάσεως Πρεσβεῖον· ἔνθεν τοι κατὰ τοὺς λόγους τοῦ Οἰκουμενικοῦ θεσπίσματος, οἱ Πατέρες τῷ θρόνῳ τῆς Πρεσβυτέρας Ῥώμης διὰ τὸ βασιλεύειν τὴν Πόλιν ἐκείνην, εἰκότως ἀποδεδώκασι τὰ Πρωτεῖα· ἐμβριθῶς δὲ παρατηροῦντες τοὺς λόγους τοῦ Συνοδικοῦ τοῦδε Κανόνος "οἱ Πατέρες " ἀποδεδώκασι τὰ Πρωτεῖα, ἀνενδοιάστως ἐπειγόμεθα γνῶναι τὸ τοῦ συναγομένου βέβαιον, ὅτι οὔτε οἱ Ἀπόστολοι, οὔτε καὶ αὐτὸς ὁ Χριστὸς, δεδώκασι τῷ Ῥώμης ταῦτα· ἐπειδὴ δὲ ἡ τοῦ Χριστοῦ Ἐκκλησία κατ' οὐδένα λόγον λογίζεται σῶμα τῶν Προέδρων τῆς Ῥώμης, ἄρα μηδαμῶς δύναται εἶναι κεφαλῆς ταύτης· ἐκτὸς γὰρ τοῦ Ἰησοῦ Χριστοῦ, οὐδεὶς ἄλλος κατὰ τὴν ἱερὰν γραφὴν, καὶ τὸν οὐρανοβάμονα θεῖον Ἀπόστολον, ἐστὶ Κεφαλὴ τῆς Ἐκκλησίας. (πρὸς Ἐφεσ· Κεφ. Δ'.8–15.)

Ἐὰν δὲ πρὸς δεῖξιν τοῦ Πρωτείου, προβάλλεται



ἡ τοῦ ἱεροῦ Κλήμεντος ἐπιστολὴ πρὸς τοὺς Κορινθίους, οὐδὲν συνάγεται ἐκ τούτου, διότι κατὰ τοὺς ἀρχαίους ἐκείνους χρόνους, ὡς ἀνωτέρω ἐῤῥέθη, αἱ ἧττονες τὸν ἀριθμὸν εὐσεβῶν Ἐκκλησίαι, ἐπὶ πραγμάτων τῶν τῆς Πίστεως καὶ ἄλλων διαφορῶν καὶ συζητήσεων, ἀνεφέροντο πρὸς τοὺς Ἐπισκόπους τῶν ἐπισημοτέρων Πόλεων, οἵα ἦν καὶ ἡ τῆς Ῥώμης Ἐκκλησία, οὐχὶ δὲ διὰ τὴν ἣν ἀντιποιοῦνται οἱ τῆς Ῥώμης ἤδη Πρόεδροι ἐπὶ τῆς καθόλου Ἐκκλησίας αὐτῶν Ἔκκλητον, τὴν ὅλως ἄγνωστον (ὡς ὀψὲ δὴ ἐπινοηθεῖσαν) μάλιστα κατ' ἀρχὰς τῆς δευτέρας ἑκατονταετηρίδος· καὶ ἐὰν ὁ Ῥώμης Κλήμης ἔγραψεν εἰς Κόρινθον, παύσασθαι τῶν κακῶν καὶ τὴν εἰρήνην καὶ ὁμόνοιαν πολιτεύεσθαι παραινῶν, ἀλλὰ πρὸς τοῖς ἄλλοις ἀλλαχοῦ Ἐπισκόποις, καὶ ὁ ἐπὶ Ἀντωνίου Βήρου ἀκμάσας Κορίνθου Διονύσιος, ἱερὸς ἀνὴρ, μαθητὴς τῶν συνομίλων τοῖς Ἀποστόλοις, λόγων καὶ φιλοπονίας ἔμπλεως, ἔγραψε πρὸς πολλὰς Ἐκκλησίας, χρησιμώτατον καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ἑαυτὸν ἐν ἅπασι καθιστῶν· τοσοῦτον δὲ πόθον ἐν πολλαῖς τῶν Ἐκκλησιῶν ἐξῆψαν αἱ διδασκαλίαι καὶ μαθήσεων ἐμφαντικαὶ αὐτοῦ ἐπιστολαὶ, ὥστε ἐζήτουν καὶ δευτέρας, ὡς ῥεούσας οὐ γάλα, ἀλλὰ τροφὴν στερεάν. ἔγραφον οὖν κατὰ τοὺς τότε πρώτους χρόνους τῆς τοῦ Χριστοῦ Πίστεως, οἱ θεσπέσιοι ἄνδρες τοιαύτας πρὸς τὰς Ἐκκλησίας ἐπιστολὰς, οὐ διὰ φιλαρχίαν, ἀλλὰ πρὸς οἰκοδομὴν, κατὰ τὸν θεῖον Ἀπόστολον, καὶ καταρτισμὸν τῆς παν-

SISMANOGLIO MEGARO

ταχοῦ Χριστοῦ Ποίμνης.

Οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας, εὐχαριστοῦσι τῇ Μακαριότητι αὐτοῦ διὰ τὰς προτροπὰς, δι' ὧν ἔσπευσε καλῶν ἡμᾶς, καὶ, ἄνευ ἀναβολῆς, ὅπως ἐπιστρέψωμεν εἰς τὴν κοινωνίαν τοῦ θρόνου αὐτοῦ, ὡς θεμελίου ὄντος τῆς ἀληθοῦς τοῦ Χριστοῦ Ἐκκλησία κ.τ.λ. λέγομεν μὲν πρῶτον, ἡ Ἀνατολικὴ Ἐκκλησίας οὐδὲ ἐγνώρισε ποτὲ ἀφ' ἧς συνεστήθη, καὶ οὐδὲ γνωρίζει, ὡς ἄνωθεν ἀποχρώντως ἀνεπτύχθημεν, τὸν Πέτρον ἢ ἄλλον ὡς θεμέλιον τῆς Ἐκκλησίας· πρώτην οὖν Πέτραν θεμελίου αὕτη, ὡς μὴ ἑτεροφρονοῦσα, ὁμολογεῖ καὶ πιστεύει μόνον, τὸν Ἰησοῦν Χριστόν· " θεμέλιον γὰρ ἄλλον, " οὐδεὶς δύναται θεῖναι, παρὰ τὸν κείμενον, ὅς ἐ- " στιν Ἰησοῦς ὁ Χριστός,, (Α'. πρὸς Κορινθ. Κεφ. Γ'. 11.) δεύτερον δὲ προβάλλεται ἐν τῇ ἐπιστολῇ ὅτι θελήσαντες οἱ Ἀνατολικοὶ ἀπεσπάσθησαν τῆς στερεότητος τῆς Πέτρας, ἐφ' ᾗ οἰκοδομήθη ἡ τῆς Ῥώμης Ἐκκλησία· τουτέστιν ἡ Ἀνατολικὴ ἐχωρίσθη τῆς Δυτικῆς Ἐκκλησίας, ἀλλ' ἵνα προβληθῇ τοῦτο μετ' ὀρθοῦ βεβαίου λόγου, δέον ἦν ἀποδειχθῆναι τὴν Δυτικὴν τῆς Ῥώμης Ἐκκλησίαν ὡς διαμείνασαν καὶ μετὰ τὴν ῥῆξιν τὴν αὐτὴν, οἷα ἦν ἀπ' ἀρχῆς, τὴν δ' Ἀνατολικὴν Ἐκκλησίαν ἐξ ἐναντίας, παραβᾶσαν νόμον τινα μέγαν, ἀχώριστον τῆς Καθολικῆς μιᾶς καὶ ἁγίας Ἐκκλησίας· ἀλλ' ἐπειδὴ τοῦτο σεσιώπηται, χωροῦμεν ἐπ' ἄλλο, παρατηροῦντες καὶ τὴν μίαν καὶ τὴν ἄλλην Ἐκκλησίαν



ἐπὶ τῶν χρόνων τῆς αὐτῶν ἑνώσεως, ἢ μᾶλλον παρατηροῦντες τὴν Καθολικὴν Ἐκκλησίαν κατὰ τὰς ὀκτὼ πρώτας ἑκατονταετηρίδας, εὑρίσκομεν, ὅτι αὕτη πρὸς διατήρησιν ἀκριβῆ καὶ ἀσφαλῆ τῆς ἑνώσεως αὐτῆς καὶ καθαρότητος, προσελάβετο ὡς ἄλλον νόμον ἱερὸν τὸ ἐφεξῆς· οἱ ἐν Γένει μὲν ὀρθότης τῆς Πίστεως, καὶ ὁ κανονικὸς ὅρος τῆς Καθολικῆς Ἐκκλησίας θεσπίζεται παρὰ τοῦ λόγου τοῦ Θεοῦ διὰ κοινῆς Συμπνοίας ταύτης καὶ τῶν Πατέρων αὐτῆς καὶ Διδασκάλων· αἱ δὲ κατὰ μέρος τοπικαὶ Ἐκκλησίαι δύνανται μὲν πρᾶξαι ἰδικὰς διατάξεις, ἀλλ' ἀνηκούσας μόνῃ τῇ Ἐκκλησιαστικῇ εὐταξίᾳ, οὐχὶ δ' αὐθαιρέτως τοιαύτας, ὥστε διασεῖσαι τὰς τοῦ Χριστιανισμοῦ βάσεις· ἐπὶ δὲ τῷ ἱερῷ νόμῳ τούτῳ τεθεμελίονται ἰσχυρῶς καὶ αἱ Οἰκουμενικαὶ τῶν Συνόδων, καὶ οὐδ' ἂν ποτὲ ὑπῆρξαν, ἐὰν αὐτὸς οὐχ ὑφίστατο.

Ἀρξώμεθα οὖν ἀπὸ τῶν πρώτων ὀκτὼ αἰώνων τῆς Οἰκουμενκῆς μιᾶς ἁγίας Ἐκκλησίας, καὶ προχωροῦντες ἄχρι τῶν χρόνων, καθ' οὓς ἐγένετο ἡ τῶν δύω Ἐκκλησιῶν διαίρεσις, ἐρευνήσωμεν, ἐὰν ὁ ῥηθεὶς ἱερὸς αὐτὸς νόμος τῆς Καθολικῆς Ἐκκλησίας διετηρήθη, καὶ εἰ διετηρήθη, ἐν ποίᾳ ἄρα τῶν δύω τούτων ἀσυμφώνων ἤδη καὶ διῃρημένων Ἐκκλησιῶν διαμένει; παρατηροῦντες δ' ἀτενῶς τὴν τῆς Ῥώμης Ἐκκλησίαν, βλέπομεν ἐν αὐτῇ ὁμολογίαν Πίστεως νέαν, τὴν ἐν Τριδέντῳ τῆς Γερμανίας συστάσης Συνόδου τῷ 1545 ἔτει, Ποντιφικοῦντος Παύλου

τοῦ τρίτου, κυρωθεῖσαν, Πίστιν ὁμολογίας διαφέρουσαν, καὶ κατὰ διάμετρον πάντη ξένην καὶ ἀλλοτρίαν τῆς ὁμολογίας τῆς ἀρχαίας καθολικῆς Ἐκκλησίας καὶ τοῦ ἐν Νικαίᾳ ἐπὶ τῆς πρώτης, καὶ τῆς ἐν Κωνσταντινουπόλει δευτέρας τῶν Οἰκουμενικῶν Συνόδων ἱεροῦ Συμβόλου· κατὰ δὲ τοῦτον τὸν Τριδέντινον ὅρον, πρὸς τῇ ἐναντίον τῶν ἐν τῷ Εὐαγγελίῳ ἀποφαντικῶν λόγων τοῦ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, παναθέσμῳ προσθήκῃ τοῦ ἀρχαίου σεπτοῦ δόγματος, ἕπονται δόγματα καινόφανα ἀντίστροφα τοιαῦτα, καὶ διατάγματα παράβολα, ὧν οὐδὲ ἴχνος ὑπάρχει ἐν τῷ ἀρχαίῳ γεραρῷ Συμβόλῳ, ἅτινα ἡ τολμηρὰ καινοτομία προσέθετο· οἷον, πρῶτον, ὁμολογῶ μυστήριον ἀληθές, ὅλον τὸν Ἰησοῦν Χριστὸν καὶ ἀκέραιον μεταλαμβανόμενον ὑφ' ἑνὶ καὶ μόνῳ τῷ εἴδει: δεύτερον, πιστεύω εἰς τὴν τῶν Συγχωρητηρίων (ἰνδουλγκσιῶν) δύναμιν, δοθεῖσαν παρὰ τοῦ Ἰησοῦ Χριστοῦ τῇ Ἐκκλησίᾳ, καὶ τὴν τούτων χρῆσιν ὡς σωτήριον τῷ τῶν ἀνθρώπων γένει: τρίτον, τῷ τῆς Ῥώμης Ποντίφικι, καθὰ διαδόχῳ Πέτρου, καὶ ἐπιτρόπῳ Χριστοῦ ἀληθῆ ὑποταγὴν καὶ εὐπείθειαν τελείαν, ἐφ' ᾧ Θεὸν ὄμνυμι.

Ὑπ' ὄψιν τοιούτων καὶ τοσούτων καινοτομιῶν καὶ παρεισάκτων, ἐν τῇ ἀρχαίᾳ τῆς Πίστεως ὁμολογίᾳ, ἄρθρων, ὁρισθέντων αὐθαιρέτως ὡς ἐν Συνόδῳ δῆθεν Οἰκουμενικῇ, (καθὰ οἱ Δυτικοὶ λέγουσι) μὴ εἰδότες, ὅτι ἐξ οὗ χρόνου τὰ τῶν Χριστιανῶν



διῃρέθησαν εἰς δύω ἀσύναπτα ἥμισυ, Σύνοδος Οἰκουμενικὴ οὐκ ἔστιν, οὐδὲ λέγεται ἡ μὴ γενομένη κατὰ συναίνεσιν καὶ ἕνωσιν ἁπάσης τῆς καθόλου Ἐκκλησίας· ἡ δ' ἐν Τριδέντῳ ῥηθεῖσα, οὐδὲ δύναται μάλιστα ὀνομασθῆναι καὶ κοινὴ τῆς Δυτικῆς Ἐκκλησίας, ὡς οὔσης ταύτης τότε ἐν πολλῷ σάλῳ δονουμένης καὶ κυμαινομένης, διῃρημένης καὶ διασπαραττομένης ὑπὸ τοῦ Λουθήρου· ὑπ' ὄψιν οὖν, φαμέν, τῶν τηλικούτων καινοτομιῶν, δὸς δ' εἰπεῖν καὶ τῆς ἀποστασίας τῆς Δυτικῆς Ἐκκλησίας τῆς τε ἀρχαίας πανιέρου ὁμολογίας τῆς Πίστεως, καὶ τοῦ διὰ λόγου Θεοῦ ὁρισθέντος νόμου τῆς ὀρθότητος τῶν Δογμάτων, τῶν ὁμολογουμένων καὶ πρεσβευομένων καὶ παρ' αὐτῆς συμφώνως καὶ ὁμοδόξως ἀπαραλυμάντως μετὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας δι' ὀκτακοσίων καὶ μικρὸν ἐπέκεινα χρόνων, ἠπόρησε, καὶ ἀποροῦσα θαυμάζει ἡ Ἀνατολικὴ αὕτη μετά τε τῶν Προέδρων ταύτης καὶ τοῦ ὀρθοδόξου πληρώματος, πῶς ὁ Μακαριώτατος Πάπας, ἐπὶ τοιούτου πανδήμου συσσεισμοῦ, ἐπεβάλλετο τοιαύτῃ πράξει ἐπὶ τῷ πεῖσαι πρὸς ἕνωσιν μετὰ τοῦ θρόνου αὐτοῦ, τὴν Ἀνατολικὴν Ἐκκλησίαν, τὴν ἐνδιηνεκεῖ συμπνοίᾳ καὶ συμφωνίᾳ ἐξ αὐτοῦ τῆς εἰς Χριστὸν Πίστεως θείου κηρύγματος μέχρι ταύτης Θεολογοῦσαν καὶ Ἱερουργοῦσαν τὸ αὐτὸ εὐσεβὲς καὶ γνήσιον ὃ παρέλαβε τῆς Θεοπαραδότου Πίστεως Δόγμα, καὶ διετήρησε καὶ διατηρεῖ αὐτὸ ἀπαράτρωτον καὶ ἀνέπαφον, ἀναλλοίωτον καὶ ἀ-

παρασάλευτον, μηδὲν καινοτομήσασα ἢ προσθέσασα ἢ ἀφαιρέσασα; πῶς δὲ προτρέπει Γένος ἀποσκιρτῆσαι τῶν Πατρῴων καὶ ἀκαινοτόμων, ὃ πρῶτον τῶν ἄλλων Ἐθνῶν ἁπάντων ἐδέξατο τὴν εἰς Χριστὸν Πίστιν, καὶ πρῶτον αὐτὸ τῷ τοῦ Χριστοῦ ὀνόματι ἐπωνομάσθη, καὶ ὅπερ τοσαῦτα κατὰ θρησκείαν καὶ πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ἔπαθεν, καὶ ὅσα ἡ ἀδέκαστος ἱστορία διέξεισι, καὶ ὅσα μετὰ ταῦτα ὑπέστη παρὰ τῆς Ῥώμης καὶ τῶν ἐξ αὐτῆς ἀποστελλομένων πρὸς διάδοσιν, καθὰ λέγουσι, τῆς Πίστεως, σοφίσμασι, προσδιαλέξεσι, Συγγράμμασιν, ὡς καὶ ἤδη, διαβολαῖς, ἐπηρείαις ποικίλαις, τρόποις παντοίοις, μεταπεῖσαι αὐτὸ βουλόμενοι καὶ διασεῖσαι τῶν Πατρωπαραδότων, ἀλλ' εἰς κενὸν ἐκοπίασαν, ὡς ἐμμένον καθ' ὅλας τὰς περιπετείας τῶν χρόνων, στερεὸν καὶ ἀμετάβλητον ἐν οἷς οἱ Πατέρες ἔθεντο ὁρίοις, μηδεμίαν κενόφωνον ἀνασχόμενον προσθήκην, ἀλλ' ἀπλανῶς καὶ ἀπαρασαλεύτως διακρατοῦν τὰς ἀποστολικὰς διδασκαλίας καὶ παραδόσεις κατὰ τοὺς ἐν ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις ὑπὸ τῶν Ἀνατολικῶν καὶ Δυτικῶν Πατέρων ἐν ἁγίῳ Πνεύματι ἀποφανθέντας ὅρους καὶ Κανόνας.

Ἀποχρόντως ἡ Ἀνατολικὴ Ἐκκλησία διὰ τῶν Προέδρων καὶ τοῦ ὀρθοδόξου αὐτῆς πληρώματος ἀνεπτύχθη προκαλουμένη ἐπὶ τὸ ἐκκλῖναι τῆς ὁμολογίας τῆς Πίστεως αὐτῆς, ἀποστῆναι τῶν ἱερῶν Δογμάτων, καὶ ὑποκύψαι εἰς τὰ τῆς Ῥώμης, καὶ



εἰς αὐτὰ τὰ τῆς ὁμολογίας καινότομα καὶ παρείσακτα Τριδέντινα, δι' ὧν ἡ Δυτικὴ αὕτη Ἐκκλησία, οὐ μόνον τῆς Ἀνατολικῆς, ἀλλὰ καὶ αὐτῆς τῆς ἀρχαίας ὀρθῶς δογματιζούσης Ἐκκλησίας τῆς Ῥώμης διῄρηται καὶ διέσχισται· καὶ συλλήβδην, ἐφ' ὅσον τὸ ἀνίατον τῶν καινοτομιῶν, καὶ μᾶλλον τὸ τῆς προσθήκης καὶ κορωνίδος ὅλων τῶν κακῶν, τῆς Ἐκκλησίας τῆς Ῥώμης ὑφίσταται, καὶ τῇ ἐπιμονῇ τοῦ πρὸς ἀποβολὴν τούτων τῶν καινοτομιῶν διαμένει ἀσυνάλλακτον καὶ ἀσύμβατον, ἐν μέσῳ τῆς τε Ἀνατολικῆς καὶ τῆς πρώην ἀδελφῆς λατινίδος Ἐκκλησίας, λέγομεν, χάσμα μέγα συνενώσεως τῶν διεστότων ἐστήρικται.

Ὡς δὲ πέρας τῆς ἀπαντήσεως ταύτης, ἡ Ἀνατολικὴ Ἐκκλησία ἐπεύχεται, ὅπως ὁ Κύριος ἡμῶν καὶ Δεσπότης Ἰησοῦς Χριστὸς, ἡ Κεφαλὴ ταύτης, καὶ ἡ Πέτρα τῆς Πίστεως, ἴασιν δώῃ καὶ θεραπείαν τοῖς ὑπὸ τοῦ ἀρχεκάκου ὄφεως ἐπενεχθεῖσι, διὰ τοσούτων καινοτομιῶν, δήγμασι καὶ τραύμασιν, ἀναῤῥώσοι τὰ πονηθέντα, καὶ ἀναζωογονήσοι τὰ κακωθέντα μέλη τοῦ σώματος τῆς Ἐκκλησίας, οὗ ἐπὶ τὴν θείαν δύναμιν ἡ Ὀρθόδοξος Ἐκκλησία αὕτη ἐπερειδομένη, πέποιθεν ἀδιστάκτως, ὅτι ἐξ ἐλέους καὶ οἰκτιρμῶν πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν, πανδήμως τερατουργήσει τέως, ἴασιν παρέχουσα τοῖς τραύμασι, ζωὴν ἀντὶ θανάτου, ἕνωσιν ἀντὶ διαιρέσεως, ἀντὶ ἐμπαθῶν διενέξεων, λοιδοριῶν καὶ κακολογιῶν, κατανόησιν, παρὰ Δυτικοῖς, καὶ ἐπι-

γνωσιν τῆς ἐναληθοῦ ἐννοίας περὶ τῆς προαιωνίου ὑποστατικῆς τοῦ Παναγίου Πνεύματος ἐκ τοῦ Πατρὸς ὑπάρξεως, ἀντὶ τῆς λέξεως Προέσεως, (ἐλλείψει λέξεως Λατινικῆς ταυτοσημάντου καὶ ἰσοδυνάμου Ἐκπορεύσεως), δι' ἧς αὐτοὶ δοξάζουσι τὰς διαφόρους Προόδους, τήν τε ἄναρχον, ἀπερινόητον καὶ ἀπόῤῥητον, καὶ τὴν χρονικὴν τοῦ ἁγίου Πνεύματος, οἷον τὰς κατὰ ταύτην ὑπερφυεῖς αὐτοῦ δωρεὰς, τὰς ἐκ Πατρὸς δι' Υἱοῦ προχεομένας, χορηγουμένας καὶ μεταδιδομένας, ὡς ἓν καὶ ταυτὸν· ἐπίσης δὲ καὶ τὸ τῆς οὐσίας καὶ τὸ τῆς ὑποστάσεως ἅμα, οὐ δυσὶν ὀνομάτων σημασίαις, ὡς ἡ Ἑλλὰς φωνὴ διαστέλλει, ἀλλὰ μιᾷ μόνῃ λέξει, τῇ κατ' ἐκείνους Σουπστάνσζια ἀδιαφόρως αὐτοὶ ἀμφότερα συγχέουσιν, ἐκλαμβάνοντες ἀντὶ οὐσίας, ὅτε σημαίνει ὑπόστασιν, καὶ ἀνθ' ὑποστάσεως, ὅτε δηλοῖ οὐσίαν· καὶ τὸ μὲν οὐσιωδῶς ἐξ ἀμφοῖν Πατρὸς ἅμα καὶ Υἱοῦ, καὶ πιστεύει καὶ ὁμολογεῖ ἡ Ἀνατολικὴ αὕτη Ἐκκλησία, τὸ δὲ καθ' ὑπόστασιν, ἤτοι Προσωπικῶς ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι τὸ ἅγιον Πνεῦμα, καὶ ἀπαρνεῖται, καὶ τοὺς οὕτω καινοφωνοῦντας ἢ μᾶλλον κενοφωνοῦντας, ὡς βλασφήμους ἀποστρέφεται· τοιουτοτρόπως οὖν μὴ συνιέναι θέλοντες τὴν διαφορὰν οὐσίας καὶ ὑποστάσεως, ἀποσχίζουσιν ἑαυτοὺς τῆς ἀληθοῦς Θεολογίας· ἔνθεν τοι ἡ παρεκτροπὴ πᾶσα ἐκείνων, κἀντεῦθεν τὸ αὐτῶν Σχίσμα, καὶ ἡ τῆς Ἀνατολικῆς Ἐκκλησίας διάστασις.

Ἀλλ' ὁ τὴν εἰρήνην, καὶ τὴν ἐξ αὐτῆς ὁμόνοιαν



καὶ σύμπνοιαν βραβεύων τῷ κόσμῳ Πατὴρ καὶ Θεὸς τὰ ἀμφότερα εἰρηνεύσειεν, (εἴγε τὸ περὶ δόγματος, ὃ δοκῶδεσι γόμφοις τῇ διανοίᾳ ἐκεῖνοι ἰσχυρογνώμως τε καὶ ἀπενοημένως προσήλωσαν, ἀποβαλεῖν θελήσειεν, ἐπεξεργαστικώτερον ἀνιχνεύσαντες), καὶ τὰς ἀπ' ἀλλήλων τῇ διαφωνίᾳ καὶ τῇ διαιρέσει διεστηκυίας δύω ἀδελφὰς Ἐκκλησίας, τῇ κοινωνίᾳ τοῦ καθ' ὕπαρξιν ἀΐδιον ἐξ αὐτοῦ μόνου ὑφεστηκότος ἁγίου Πνεύματος συνάψειεν, ὡς τὸ πρότερον· γένοιτο, γένοιτο.

Ο. Α. Ε. Χ.

καὶ [illegible] βοηθὸν [illegible]. Π[illegible] καὶ
[illegible] (ὅπως [illegible] δό-
[illegible] γράψας τῇ [illegible] ἔκδοσιν, -
[illegible] τὰ [illegible], προσθέτων,
[illegible] ἀγγε-
[illegible] καὶ τὴ
[illegible], [illegible] Γ[illegible],
[illegible] αὐτοῦ μα-
[illegible] Π[illegible], ὡς
[illegible].

Ο. Α. Ο.

SISMANOGLIO MEGARO